Τῷ μὲν Θεῷ χάρις, ὦ μέγιστε βασιλεῦ· καλὸν γὰρ ἀπὸ Θεοῦ τε ἄρξασθαι καὶ ἐκ προοιμίων εὐθὺς καταθέσθαι τὰ χαριστήρια· ὅτι Σὲ καὶ νῦν ἐκ τῆς στρατείας ἡμῖν ἐπανήγαγεν, ἐκ μέσου τῶν κυκλωσάντων σε κυνῶν ἐξαρπάσας, καὶ τῇ οἰκείᾳ ποίμνῃ πάλιν ἀποδοὺς τὸν ποιμένα καὶ πρόμαχον εἰς κοινὸν παραμύθιον, εἰς κουφισμὸν τῆς περιεχούσης ἅπαντας ἀγωνίας, εἰς τὸ μὴ πάντῃ τῶν χρηστοτέρων ἐλπίδων, ἀποπεσεῖν. Ταῦτα ἡμῖν, ἡ Σὴ παρέσχεν ἐπάνοδος. Ταῦτα Σύ, ζῶν καὶ σωζόμενος, χαρίζῃ τῇ πολιτείᾳ. Μὴ τοίνυν νόμιζε, βασιλεῦ, μικρὰν κινδύνου μοῖραν τοῖς ἡμετέροις ἂν προστεθῆναι κακοῖς, εἴ τι τῶν ἀβουλήτων καὶ ἀπευκταίων περὶ Σὲ ξυνηνέχθη· μηδὲ κατὰ πῆχυν ἔτι τὸ λεγόμενον, αὔξειν ἡμῖν τὰ τῆς συμφορᾶς· ἀλλ' ἀθρόως τὰ πάντα ἀνατραπήσεσθαι καὶ οἰχήσεσθαι. Τοιαῦτα γὰρ πάντως παθεῖν, οἷα καὶ οἰκίαν εἰκός· καὶ ταύτην σαθρὰν, ἐξαιρεθέντος τοῦ ὑπερείδοντος. Εἰ δὲ βούλει, πλοῖον ἐν μέσῳ χειμῶνος καὶ τρικυμίας, οὐκ ἔτι τὸν κυβερνήτην ἔχον. Διὰ ταῦτα μὲν οὖν, πολλὴν δίκαιον εἰδέναι τῷ κρείττονι χάριν· μᾶλλον δέ, πᾶσαν ἅπαντας· καὶ μέντοι καὶ οἴδαμεν. Ἐκ γὰρ τοῦ κατ' ἐμέ, οὕτως ἔχειν πείθομαι καὶ τοὺς ἄλλους· ἐπεὶ καὶ ἡ ἐν τοῖς πράγμασι κοινωνία· κοινωνία καὶ τῆς διαθέσεως γίνεται· ἃ δὲ λοιπὸν βουλομένῳ μοι ἔστιν εἰπεῖν, τοιαῦτα εἶναι· γινώσκω ὡς σιωπηθέντα μέν, κίνδυνον ἐνεγκεῖν δύνασθαι, καὶ διπλοῦν ἴσως ἔμοι γε· ἂν δ' ἄρα λεχθείη, καὶ τὴν εἰσδεξαμένην ψυχήν. Ἐπειδὴ ὥσπερ τὸ μέλι λυπεῖ τὰ ἡλκωμένα τοῦ σώματος μέρη, οὕτω πολλάκις καὶ ψυχὴν ἔλεγχος μετὰ παρρησίας δικαίας· ἄμεινον ἂν οὕτω τύχῃ μικρὰ λυπήσαντα ῥήμασι τόγε εἰς ἐμὲ ἧκον πράγμασι τὴν ὠφέλειαν προξενῆσαι· ἢ τὸ τραχὺ τοῦ λόγου φεύγοντα, τὸν ἔσχατον καὶ κοινὸν ἐκδέχεσθαι κίνδυνον· καὶ ἄλλως δέ, ἀμφοτέροις ἂν εἴη τὸ πρᾶγμα τῶν μεγίστων ἐπιλήψεων ἄξιον, εἰ ἐν ἰδιώταις μέν τελῶν πρότερον, αὐτός τε ἅ μοι ἐδόκει συμφέρειν ἐλογογράφουν· Σύ τε ἡδέως ἤκουες· νῦν δέ, μὴ λέγοιμι μηδὲ πείθοιμι· καὶ ταῦτα Θεοῦ χρηματίζων ἀρχιερεύς· καὶ σκοπὸς τῷ οἴκῳ τοῦ κατὰ Θεὸν Ἰσραὴλ τεθειμένος, καὶ ὁρῶν, οὐκ ἔτι λοιπὸν τόξον ἐντεινόμενον, οὐδὲ ρομφαίαν στιλβουμένην, οὐδ' ἄνθρακας ἀναπτομένους· ἀλλὰ πῦρ κατεσθίον, καὶ ἀφιέμενα βέλη παντοδαπά, καὶ τὴν ρομφαίαν ἐκχεομένην, καὶ τὴν μάχαιραν κενουμένην ὀπίσω τῶν φυ-

---

1. Ζητήσας πληροφορίας περὶ τῶν κειμένων τούτων ἀπὸ τὸν ἐν Μονάχῳ πολυσέβαστον καθηγητὴν Κ. Κρουμβάχερ, ἔλαβον τὴν ἑξῆς ἀπάντησιν.

Φαίνεται ὅτι τὰ κείμενα ποῦ ἀναφέρετε εἶναι ἀκόμη ἀνέκδοτα. ἐζήτησα καὶ εἰς τοὺς καταλόγους καμπόσων Βιβλιοθηκῶν π. χ. τῆς Βιέννης, τῆς Βενετίας, τῶν Παρισίων, τῆς Λόνδρας, τοῦ Μονάχου, τῆς Μόσχας, τῆς Ρώμης καὶ Φλωρεντίας νὰ εὕρω ἄλλα χειρόγραφα, ἀλλὰ δὲν ηὗρα τίποτες· ἔχετε δὲ ὑπ' ὄψιν ὅτι α΄) μὲν οἱ κατάλογοι εἶναι ἐλλιπεῖς, καὶ οἱ πίνακες πολλάκις ἀπατῶσι· καὶ β΄) δὲ πολλάκις τέτοια ἔργα εὑρίσκονται ἀνωνύμως εἰς τὰ χειρόγραφα, καὶ ἔπειτα εἶναι μία τύχη νὰ τὰ εὑρίσκῃ κανείς.

γάδων ἡμῶν· καὶ ὥσπερ ἐν κατόπτρῳ τῇ προπεπονθυίᾳ κτίσει τὰ ἡμᾶς καταληψόμενα κακὰ θεώμενος· καὶ τίς με τῆς ἀπειλῆς ἐξαιρήσεται, ἐὰν μὴ καὶ ὑπηκόοις καὶ ἄρχουσι διαστείλωμαι· καὶ λαλήσω τοῦ ἀποστρέψαι αὐτοὺς ἀπὸ τῶν ὁδῶν αὐτῶν τοῦ ζῆσαι αὐτούς. Ἐὰν γὰρ μὴ διαστείλῃς, λέγει πρός με διὰ προφητικῆς φωνῆς ὁ Θεός, μηδὲ λαλήσῃς, ἀποθανεῖται ὁ ἄνομος ἐν τῇ ἀνομίᾳ αὐτοῦ, καὶ τὸ αἷμα αὐτοῦ ἐκ τῆς χειρός σου ἐκζητήσω. Βλέπεις, πῶς φοβερὰ ἡ ἀπειλή, πῶς φρίκης γέμουσα; Ἄκουε δὴ λοιπόν, ὦ βασιλεῦ, καὶ σὺ καὶ οἱ πλησίον σου οἱ καθήμενοι πρὸ προσώπου σου· μᾶλλον δέ, κοινὸν συττήτω τῷ λόγῳ καὶ πάνδημον τὸ ἀκροατήριον εἴπερ οἷόν τε. Ἡμάρτομεν πάντες καὶ ἠνομήσαμεν ἀποστῆναι ἀπὸ τῶν ἐντολῶν τοῦ Κυρίου καὶ τὴν Διαθήκην τὴν θείαν διεφθείραμεν, λέγει Κύριος Παντοκράτωρ· καὶ διὰ τοῦτο δέδωκα ὑμᾶς, φησίν, ἐξουθενωμένους καὶ παρειμένους εἰς πάντα τὰ ἔθνη, ἀνθ' ὧν ὑμεῖς οὐκ ἐφυλάξασθε τὰς ὁδούς μου, ἀλλ' ἐλαμβάνετε πρόσωπα ἐν νόμῳ· καὶ ὅσα διὰ πάντων ὁμοῦ τῶν προφητῶν, τοῖς προσκρούουσιν ὀνειδίζει καὶ ἀπειλεῖ· ἀλλὰ τὰ μὲν τῶν ἄλλων ἡμῖν ἑατέον ἐν τῷ παρόντι· ἐπεὶ καὶ γινώσκειν ἀδύνατον, καὶ καθ' ἕκαστον ἐπεξιέναι ἀμήχανον. Ἐπὶ δὲ Σὲ πορευτέον τῷ λόγῳ, τὴν κεφαλὴν τοῦ τῆς πολιτείας πληρώματος, καὶ δεικτέον εἰς δύναμιν τὰ σά, ὁποῖά τε εὐθὺς ἀπὸ γενέσεως, καὶ ἕως τοῦ νῦν, καὶ τὴν πᾶσαν περὶ σὲ τῆς Προνοίας οἰκονομίαν· ἀνθότου δὲ περὶ τούτου βούλομαι νῦν εἰπεῖν, αὐτίκα μάλα γνώσῃ ἀκούων· καὶ καρπὸν ἐκ τοῦ λόγου σὺν Θεῷ, φάναι, αὐτός τε ἀγαθὸν ἀποδρέψῃ, καὶ ὅσοι τοῦτον οὐκ ἀφροντίστως ἐπέλθωσιν. Ἡγοῦμαι δέ, ὦ βασιλεῦ, τὸν Θεὸν τὴν ἡμετέραν βλέποντα γενεάν, τῆς μὲν δικαίας ἐκτραπεῖσαν ὁδοῦ, ὅλῃ δὲ ῥύμῃ φερομένην κατὰ τοῦ τῆς κακίας βαράθρου, ἀνακαλεῖσθαι πειρᾶσθαι, καὶ οἷον ἀναχαιτίζειν παιδείαις καὶ μάστιξι. Πολλοῖς δὲ παιδευθεῖσαν ἀντὶ πολλῶν τῶν ἁμαρτημάτων αὐτήν, τοῖς τε ἄλλοις, καὶ μέντοι καὶ πολέμοις καὶ ταῖς ἐντεῦθεν συμφοραῖς ἵνα μὴ καθέκαστον λέγων μηκύνω, ἀνεπιστρόφως τε ἔχειν, καὶ ἀνενδότως ἔχεσθαι τῶν χειρόνων· καὶ τὸ δὴ χαλεπώτερον ὅτι οὐδὲ ἁμαρτιῶν ἔκτισιν τὰ παθήματα ἔκρινεν· ἀλλ' οἱ πολλοί κατά τινα ἴσως αὐτοματισμὸν ἢ ἀποκλήρωσιν ᾤοντο τὴν οἰκουμένην τοῖς τῶν συμφορῶν νῦν περικλύζεσθαι ῥεύμασιν. Ἤκουσα τοίνυν ἐγὼ τινῶν λεγόντων, ὡς ἔμελλεν ἄρα ταῦτα οὕτως ἔσεσθαι, καὶ διὰ τοῦτο καὶ γίνεται· ἑτέρων δὲ καὶ δοξαζόντων μόνης τὸν Θεὸν τῆς σωτηρίας κήδεσθαι τῶν ἡμετέρων ψυχῶν· τὰ δ' ἐν κόσμῳ πράγματα, οὕτως ὡς ἂν τύχῃ φέρεσθαι καταλείπειν. Τὰς οὖν τοιαύτας ψευδεῖς τε καὶ κακοδόξους ἐνίων δόξας τὸν τῶν ὅλων πρύτανιν ἐξελέγχοντα μετὰ μυρίων τῶν ἀπὸ τῆς Γραφῆς μαρτυριῶν μετὰ τῶν ἐφ' ἑκάστης γενομένων ἡμέρας, καὶ τοιόνδε πανσόφως οἰκονομῆσαι, τοὺς πρὸς οὕτω λάμπουσαν τὴν ἀλήθειαν ἀμβλυωποῦντας χειραγωγοῦν πρὸς συναίσθησιν· ἕνα γὰρ ἀπολαβὼν ἄνθρωπον, καὶ νῦν μὲν τοῦτον ἐν πᾶσι καὶ διὰ πάντων ὑπεράρας καὶ ὑπερμεγαλύνας, ἕως δηλονότι καὶ αὐτὸν ὁ εὖ πάσχων παρεῖχε τὰς ἀφορμάς· νῦν δὲ αὖθις ταπεινῶν, καὶ κινδύνοις καὶ θλίψεσι πολλαῖς ἐκδιδούς, ἅπασι δι' ἑνὸς τούτου τρανότατα δείκνυσι καὶ ἡμῖν καὶ τοῖς ὑπὸ τὸν ἥλιον ἀνθρώποις, ὡς ἄρα ὁ τῶν χριστιανῶν Θεός, δικαιοπραγοῦντι μὲν ἰσχὺν τῷ λαῷ αὐτοῦ δίδωσι, καὶ εὐλογεῖ ψαλμικῶς εἰπεῖν ἐν εἰρήνῃ· τοὺς αὐτοῦ δὲ νόμους πατεῖν βουλομένους, δειλοὺς λοιπὸν καὶ εὐχειρώτους, οὐχ ἡ τῶν πολεμούντων ἰσχύς, ἀλλ' ἡ τῆς αὐτοῦ σκέπης γύμνωσις τίθησι καὶ ἐπειδὴ τῶν περιφανεστέρων ἀνδρῶν περιφανέστεραι καὶ αἱ εὐπραγίαι καὶ τὰ δυσημερήματα· διὰ τοῦτο εἰς ἄνδρα τὸν πάντα λαμπρὸν καὶ ὑπερφυῶς ἐπίσημον, καὶ ἀμφότερα φαίνεται ἐνδεικνύμενος, τά τε τῆς εὐδοκίας λέγω καὶ τὰ τῆς συγχωρήσεως, ἵν' ὥσπερ ἐπί τινος ἐστὼς περιωπῆς, τῆς πάντοθεν αὐτὸν ὑπερυψούσης λαμπρότητος, τοῖς πᾶσιν εἴη περίοπτος ἐν ἑκατέροις τοῖς καιροῖς· καὶ τῶν περὶ αὐτὸν οἰκονομουμένων, λανθάνει μηδέν· καὶ ἔστιν ὁ ἀνὴρ οὗτος οὐκ ἄλλος, ἀλλ' αὐτὸς Σύ, ὦ βασιλεῦ, καὶ σκόπει λοιπόν· τὰ σαυτοῦ γάρ ὁ λόγος σε ὑπομνήσει. Σὺ γὰρ ἐκ γένους μὲν ἔφυς τὰ πρῶτα φέροντος· ἄρτι δὲ σχεδὸν εἰς νεανίας ἐγγραφεὶς τῶν πράξεών τε ἦρχου, καὶ ταπεινὸν ἔπραττες οὐδέν· ἀλλ' ἡ ἀρχή σοι τοῦ πράττειν, καὶ τῆς ἄνωθεν ροπῆς καὶ τῶν κατορθωμάτων ἐδείκνυτο· ἀμέλει καὶ πρῶτα μέν, τὸν φραγγικὸν κύνα ἐκεῖνον κατὰ ρωμαίων λυττήσαντα καὶ πολλὰ τὴν ἕω καὶ ἐπὶ πολὺ λυμηνάμενον, δέσμιον διὰ Σοῦ ὁ Θεός, ταῖς χερσὶ τοῦτόν τε παραδίδωσι βασιλέως, καὶ τοῦτο τῶν ἐχθρῶν πᾶσαν, ὡς ἔπος εἰπεῖν, τὴν χώραν κατατρεχόντων, καὶ ληϊζομένων, ἀνεπηρέαστον σοι φυλάξας, τήν τε ἔξοδον καὶ τὴν εἴσοδον, ὡς εὐθὺς ἀπὸ γραμμῆς, ὅ φασι, πάντας τέ Σε θαυμάζειν, καὶ μεγάλας περὶ Σοῦ τὰς ἐπὶ τοῖς ἑξῆς λαμβάνειν ἐλπίδας. Εἶτα τύραννον ἄλλον ἐπαναστάντα τοῖς πράγμασι καταλέλυκας· καὶ τοῦτον μυριοπληθῆ μὲν ἀθροίσαντα δύναμιν, ἐκ τῶν πρὸς δύοντα ἥλιον ρωμαίων τε καὶ βαρβάρων ἄμαχον δέ τινα καὶ ἀκατα-
γώνιστον τοὐντεῦθεν δοκοῦντα, ὁ ἑξῆς δ' ἐπὶ τούτῳ καὶ ἕτερον πολυχειρίᾳ μὲν οὐ πάνυ τι τοῦ δευτέρου λειπόμενον. Πολυπειρίᾳ δὲ καὶ εὐανδρίᾳ τῇ κατὰ πόλεμον, καὶ πολὺ ἀλκιμώτερον· καὶ εἰ μὲν ἰσόρροπον αὐτὸς ἐκείνοις ἄγων τὴν στρατιὰν ἐποίεις, ἢ μικρῷ γοῦν τι, λειπομένην, ἔδοξεν ἄν τισιν, οὐκ ὀρθῶς μέν, ἔδοξε δ' ἄν, ὡς κατὰ τὸ εἰκὸς καὶ ξυμβαῖνον τοῖς ἀνθρώποις τὰ τῶν πολέμων ἀπήντησε τέλη· νῦν δὲ πρὸς γὰρ εἰδότας ὁ λόγος, θαυματουργεῖται τὰ κατὰ τὸν Γεδεὼν ἐκεῖνον· καὶ ἐπὶ Σοί, οὗ τῇ χειρὶ τὴν Μαδιαναίων στρατιὰν παρέδωκεν ὁ Θεός, καὶ ταῦτα μετὰ τριακοσίων τῶν λαψάντων παραταξαμένου, τὴν ἅμα-

χον καὶ ἀριθμοῦ κρείττονα, μηδενὸς μηδὲ τῶν ἀρχόντων αὐτῶν διαπεφευγότος ὃ δὴ καὶ ἐνταῦθα ὡρᾶτο γινόμενον. Ἵν' ἐκ περιουσίας σοι τὰ τρόπαια λαμπρυνθείς, καὶ μηδ' ἐλπὶς τοῖς καταπολεμηθεῖσι λοιπὸν ὑπολείποιτο, τοῦ τὴν ἧτταν ἴσως ἀνακαλέσασθαι. Εἶεν· ἆρα δὲ μέχρι τούτων τὰ κατορθώματα· καὶ ἐν τούτοις ἡ περὶ Σὲ τοῦ Θεοῦ περιεγέγραπτο φιλοτιμία καὶ πρὸς μόνους τοὺς ἐξ ἡμῶν καθ' ἡμῶν γεγονότας συμπαρετάττετο, καὶ τίς οὐκ οἶδεν ὅτι καὶ τῶν ἄλλων ἁπάντων πολύ σοι τὸ ἰσχυρὸν προσυπῆρχε καὶ φοβερόν· αὐτοὶ γοῦν οἱ Σκύθαι οἱ νῦν σε θλίβοντες, βασιλεῦ, μᾶλλον δὲ δι' οὓς εἰς ἔσχατον κινδύνου κατέστη καθ' ἡμᾶς, καὶ μόνον τὸ Σὸν ἀκούοντες ὄνομα ἔτρεμον. Ὦ πόσης λαμπρότητος, πόσης εὐκλείας καὶ τιμῆς, πόσης καὶ τῆς παρὰ πάντων ἀπέλαυσας εὐνοίας. Ἐπεὶ καὶ βασιλείας αὐτῆς, ἕτερος μὲν εἶχε τότε τὸ ὄνομα, τὸ ἔργον δὲ καὶ τὴν δύναμιν αὐτὸς περιέκεισο, καὶ ἐν τοῖς ἁπάντων ἔκεισο στόμασι· τὴν δόξαν ἐκ τῶν πραττομένων δικαίαν καρπούμενος. Ἀλλὰ τοιοῦτος μὲν καὶ τηλικοῦτος Σὺ πρὸ τῆς βασιλείας, ἐντείνων καὶ κατευοδούμενος· ἤδη δὲ καὶ βασιλεύων, πλὴν τοῦ ἐπιφθόνου ῥάκους· λοιπὸν δὲ καὶ αὐτῆς ἐπιβάντι τῆς πρώτης ἀρχῆς, τἀναντία σοι πάντα συμβαίνει ἑκάστοτε· πόλεμοι, ταραχαὶ καὶ συμφοραὶ μυρίαι, καὶ τῶν προτέρων εὐτυχημάτων ἀντίρροποι δυσπραγίαι· στρατόπεδα τοῖς ἐχθροῖς προβάτων δίκην παραδιδόμενα καὶ κατακοπτόμενα· πόλεις ἁλισκόμεναι, χύσεις αἱμάτων χριστιανικῶν πανταχοῦ γῆς καὶ θαλάσσης, καὶ τὸ πάντων ἔσχατον, καὶ ἐφ' ἡμᾶς λοιπὸν καὶ ἐπὶ τὴν πόλιν ταύτην τὴν ἁγίαν ἔρθασαν τὰ δεινά· τὴν ποτὲ μὲν τῆς οἰκουμένης ὀφθαλμός, καὶ καλλώπισμα τῆς ὅλης χρηματίζουσαν βασιλείας, νῦν δέ, τὴν κατὰ τῆς Σιὼν ἀπειλὴν αὐτήν, ὑπομένουσαν· καὶ ὡς ἀγρὸν ἀροτριουμένην, οὐκ ὀλίγον δὲ μέρος μᾶλλον δέ, μηδὲ τοῦτο λοιπὸν ἔχουσαν ἀσφαλῶς, ἵνα μηδὲν τέως περὶ αὐτῆς ἐρῶ πλέον. Καὶ εἰ μὲν ἄλλοις τὰ πράγματα ἐπιτρέπων, αὐτὸς ἔνδον τῶν βασιλείων θαλαμευόμενος, τρυφῶν καὶ ἡδονῇ χαριζόμενος διετέλεις, εἶχεν ἄν τις ῥαθυμίαν καὶ προδοσίαν τῶν εἰκότων αἰτιάσασθαι τῶν γινομένων, νῦν δὲ καὶ δυνάμεις ἀγείρων ἑκάστοτε, τὰς μὲν ξενικάς, τὰς δέ, καὶ ἐκ τῶν ὑπηκόων, καὶ συμπαρὼν αὐτὸς καὶ συμπολεμῶν καὶ χρημάτων πηγὰς ἐξαντλῶν, καὶ πάντα ποιῶν, καὶ ἐκπονῶν, τόσῳ πλέον καὶ ἀκριβέστερον, ὅσῳ μετὰ μείζονος ἢ πρότερον τῆς δυνάμεως καὶ τῆς ἐξουσίας, οὐδαμῇ οὐδαμῶς τῆς προτέρας ἀπολαύεις θεόθεν ροπῆς· πόθεν ταῦτα καὶ τίς ἡ αἰτία, σκοπητέον ἄρα καὶ ζητητέον. Μὴ ἐπιλέλησται ὁ Θεός, μή, οὐχ ὁρᾷ ἔτι τὰ καθ' ἡμᾶς, ἢ ὁρῶν οὐκ ἐλεεῖ, ἢ ἐλεῶν ἀτονεῖ πρὸς τὴν ἐπικουρίαν· τῆς προτέρας ὥσπερ ἰσχύος ἀφῃρημένος, καὶ τίνος ἀπρόσιτος ἡ δυναστεία, καὶ τὸ κράτος αἰώνιον, τίς ὁ πάντα διὰ πάντων ἀεὶ τῆς εὐεργέτιδος αὐτοῦ πληρῶν δυνάμεως· μὴ ἐπιλήσεται γυνὴ τοῦ παιδίου αὐτῆς, ἢ τοῦ μὴ ἐλεῆσαι τὰ ἔκγονα τῆς κοιλίας αὐτῆς. Εἰ δὲ καὶ ἐπιλάθηται γυνή τούτων, ἀλλ' ἐγὼ οὐκ ἐπιλήσομαι λέγει Κύριος. Πόθεν οὖν πόθεν τοσαῦτα σοί τε καὶ τοῖς ὑπηκόοις τὰ δυστυχήματα, καὶ κακῶν ἀνάπνευσις οὐδεμία· ἀλλ' ἤδη τὰ καθ' ἡμᾶς, καὶ ἐπ' αὐτὸν ἔφθασε τὸν κολοφῶνα τῶν συμφορῶν, ὡς ἐπὶ ξυροῦ ἀκμῆς νῦν ἡμῖν ἑστάναι τὰ πράγματα. Λέξω τοίνυν ἐγὼ καὶ τὴν τούτων αἰτίαν ἐπιτεμνόμενος τὰ πολλά. Μηδὲν δὲ ἀχθεσθῇς ἀκούων, ὦ βασιλεῦ, μηδέ τινα δύσνοιαν ὑποπτεύσῃς ἐκ τῶν ῥημάτων. Οὐ γάρ ἐστι πόθων· οὐδέν μὲ ἠδικήσατε, οὐδὲν οὐ μέγα οὐ μικρὸν ἐλυπήσατε, ἀλλὰ τό γε ἐφ' ὑμῖν, καὶ λίαν εὐηργετήκατε· κήδομαι δὲ ὑμῶν, Θεὸς μάρτυς, καὶ τῆς κοινῆς ὑπεραγωνιῶ σωτηρίας.

Πρῶτα μέν Σοι, ὦ βασιλεῦ, ἔκθεσμος τῆς βασιλείας ἡ κρηπὶς καταβέβληται, καὶ τὰ ἐπιβατήρια δὲ γέγονεν οἷα καὶ γέγονε. Τί γὰρ τὰ ἄρρητα δεῖ με ἀναμετρήσασθαι· εἶτα μετ' οὐ βραχὺ πολέμου σοι ἐπεγερθέντος, δέον κίνησις Θεοῦ τὸ πρᾶγμα ὑπολαμβάνειν, καὶ κατὰ τῶν τότε πραχθέντων ἐπεξελευσιν καὶ διὰ τοῦτο προσκλαίειν αὐτῷ καὶ μετανοεῖν ἐν πάσῃ ταπεινοφροσύνῃ καὶ συντριβῇ καρδίας, τήν τε πεπονθυῖαν πόλιν ἀνακτᾶσθαι πειρᾶσθαι πάσῃ δυνάμει, καὶ οὕτω τὰ κατὰ σαυτὸν ἐπιτρέψαι Θεῷ, τῷ διδόντι τὴν σωτηρίαν τοῖς βασιλεῦσι, καὶ σὺν αὐτῷ κατὰ τῶν ἐχθρῶν παρατάξασθαι. Σὺ δὲ πᾶν τοὐναντίον ἐποίεις. Ὥσπερ γὰρ οὐδὲ ἰδόντος Θεοῦ τὰ γεγενημένα, ἢ πᾶσαν μὲν τὴν ὀφειλὴν ἐκείνην ἀφέντος, καὶ σώζειν ἐθέλοντος· τοῦτο δὲ ἐν πολλοῖς, ἀλλ' οὐχὶ καὶ ἐν ὀλίγοις ἰσχύοντος· οὕτω τοῦ πολέμου τὸ τέλος πλήθεσιν ἐπίστευσας ἀνθρώπων, ἵππων, ὅπλων, χρημάτων, βουλαῖς καὶ τέχναις διὰ λογισμῶν ἀνθρωπίνων, μυρίων δ' ἐπὶ μυρίοις καὶ βεβουλευμένων καὶ πεπραγμένων, καὶ τῆς χώρας ταῖς δασμολογίαις ἐκπιεσθείσης, καὶ ἄλλων οὐκ ὀλίγων τότε καινοτομηθέντων, ὡς δὲ διὰ τὰς τοῦ πολέμου χρείας πλέον ἠνύσθη οὐδέν, ἢ ὅσον ἐκθεριασθῆναι μόνον· εἴ τι καὶ περιῆγέ τι ρωμαϊκῆς ἰσχύος, ἄνθος. Πλούτου δὲ καὶ ὅπλων καὶ τῆς λοιπῆς ἀποσκευῆς, χρῆμα ἀμύθητον, τῶν βαρβάρων γενέσθαι· ἀλλὰ τὸν μὲν ἀλιτήριον ἐκεῖνον φράγγον πολλὴν κατὰ χριστιανῶν ἀδικίαν μελετήσαντά τε καὶ πράξαντα, ἡ ἄνωθεν μετῆλθε δίκη, βαλοῦσά τε ἄφνω εἰς κεφαλὴν τοῦ ἀνόμου θάνατον, καὶ τὸ περὶ αὐτὸν αὐτίκα διαλύσασα σύνταγμα· καὶ γέγονεν ἡμῖν τότε σωτηρία κρειττων μὲν θαύματος, οὐκ ἔλαττον δὲ καὶ ἐλπίδος, ἵνα κἂν οὕτω συνῶμεν καὶ παιδευθῶμεν, ἄγων μὲν μηδενί, Θεῷ δὲ μόνῳ θαρρεῖν, καὶ τῆς ἐκείνου χειρὸς τῆς τε ζωῆς ἡμῶν καὶ τῆς ἐλπίδος ἐξάπτειν τὰ πείσματα. Ἡμεῖς δέ, οὐδὲ πάλιν ἐπαυσάμεθα τοῖς προτέροις ἴσα καὶ φρονοῦντες καὶ ἐργαζόμενοι· μᾶλλον δὲ καὶ ἐπὶ πλέον ἐν τούτοις προκόπτοντες· ὡς γὰρ μετὰ ταῦτα καὶ Σκύθαις ἀπο-

τειχίζειν ἔδει τὰς ἐπὶ τὴν χώραν ἐφόδους, ἤδη δὲ καὶ τῶν νήσων φροντίζειν δέει τῶν ἀμφὶ τὴν ἑώαν βαρβάρων, ἐνταῦθα ποῖος λόγος ἐκτραγῳδήσει τὰς τῶν παπῶν ἰλιάδας ὅσας ὑπέμενον χριστιανοί, μᾶλλον δὲ ὑπομένουσιν ἀεὶ στρατιωτικῶν προφάσει δαπανημάτων καθ' ἡμέραν αὐξούσας. Τίς ἂν διηγεῖτο νήσους τε καὶ ἠπείρους χρυσολογουμένας, καὶ τὰ καινὰ τῶν δασμῶν τε καὶ δασμολόγων, καὶ πράγματα καὶ ὀνόματα· τοὺς τριττωτάς, τοὺς δεκατιστάς, τοὺς ἀμφὶ ταῖς διανοίαις, τοὺς γεωπώλας, τοὺς τούτων αὖθις λογιστάς, τοὺς βασιλικοὺς καπήλους τοῦ σίτου καὶ τῶν ἄλλων τῆς γῆς γεννημάτων. Καὶ ἔτι πρὸς τούτοις τοὺς καλαμωμένους πράκτορας, τοὺς ἐξονυχίζοντας φορολόγους, τοὺς τὰ δημίων ποιοῦντας ἄρχοντας, τοὺς ληστεύοντας δικαστὰς γῆς πανταχοῦ καὶ θαλάσσης, τἄλλα, ἵνα μὴ ἐπὶ πλέον συγχεῖταί μοι ἡ ψυχὴ ἀναπεμπάζοντι ἕκαστα· ἤδη δὲ καὶ τῶν ἐκκλησιῶν τοῦ Θεοῦ τὸ δεινὸν ἥπτετο, δίκην πυρὸς τὰ πάντα ἐπινεμόμενον· μᾶλλον δὲ καὶ πολλῷ πλέον λῃζεσθαι ταύτας συνέβαινεν, ὅσῳ καὶ εὐθηνεῖσθαι πλέον ἐδόκουν ἔνιαι· οἷα τῶν κατὰ καιροὺς εὐσεβῶν βασιλέων τά τε ὄντα φυλαττόντων αὐταῖς, καὶ παρ' ἑαυτῶν χάρισι καὶ τῶν ἐπιδόσιν προσπεριποιουμένων. Ἦν οὖν ὁρᾶν βασιλικῶν μὲν φιλοτιμιῶν, ὑβριζόμενα ἤ καὶ ἀκυρούμενα χειρόγραφα, καὶ ταῦτα ἔνορκα, καὶ ταῦτα Θεῷ γεγενημένα· γῆν τε ἱερὰν ἀποσυλουμένην κειμηλιά τε Θεοῦ ἀφαιρούμενα καὶ κοινούμενα, καὶ ὅσον ἐν ἐμψύχοις καὶ ὅσον ἐν ἀψύχοις ἀγόμενα ἅπαντα καὶ φερόμενα, αὐτούς τε τοὺς Θεοῦ καὶ ἀνθρώπων μεσίτας, τοὺς τῶν μεγάλων οἰκονόμους μυστηρίων, τοὺς ἀρχιερεῖς, λέγω, παντοίαις θλίψεσιν ὑποβαλλομένους. Ἤκουσα οὖν περί τινων ἐγὼ τούτων ὡς καὶ ἐμαστιγώθησαν, ὦ γῆ καὶ ἥλιε, καὶ ταῦτα ἐπ' εὐσεβοῦς βασιλέως, καὶ εἰς φυλακὴν ἐβλήθησαν, οὐ διὰ Χριστὸν ὡς ἄλλοι ποτέ· ἦν γὰρ ἂν μέγα τοῦτο αὐτοῖς, ἀλλὰ διὰ χρυσόν, τὸ βαρύτατον κειμηλίων δὲ ἄρτι μνησθείς, ἄλλο σμῆνος ἐλεεινολογιῶν ὁρῶ μοι ἐπεγειρόμενον· λέγω δὲ εἰς νοῦν λαβών, θεῖά τε σκεύη καὶ σεπτὰ ἐκτυπώματα, ἀφ' ὧν ἐκ πολλοῦ τὰ χωνευτήρια ὑμῖν τὰ νομίσματα δίδωσιν· ἀλλὰ τὴν μὲν περὶ ταῦτα κυβείαν πᾶσαν σιωπητέον· εἰδ' ὅλως ὅτι παρρησιάζομαι ἀδικῶ, ἕτοιμος ἐγὼ πᾶν ὁτιοῦν ὑπομένειν μόνον ὑμεῖς σώθητε. Τί ἂν τούτων πάντων χεῖρον ἴδοιμι ἢ καὶ πάθοιμι. Ἐγυμνοῦντο μὲν οὖν ἐκκλησίαι τῶν τε ἄλλων καὶ μέντοι καὶ κλήρου καὶ ἐπισκόπων αὐτῶν ἔνιαι, τῶν δ' ἐν ἀγροῖς καὶ κώμαις καὶ πόλεσι ταῖς τε ἄλλαις καὶ τῇ πανευδαίμονί ποτε πόλει καὶ βασιλίδι οἱ μὲν ἐν εὐπορίᾳ πάντες σχεδὸν εἰς τὴν τῶν ἐνδεῶν ἀπήγοντο μοῖραν ἢ ἀθρόον ἢ κατὰ μικρὸν ἀπορρεούσης αὐτοῖς τῆς οὐσίας. Πένητες δὲ καὶ ἀποχειροβίωτοι καὶ τὸ γεωργικὸν φύλον, καὶ ὅσον ἀμφὶ τὰς ἐμπορίας καὶ τὰ ἐργαστήρια, ταῖς ξέναις καὶ ὑπὲρ τὴν σφετέραν δύναμιν εἰσφοραῖς πιεζόμενοι, οἱ μὲν ἔθνησκον καὶ πρὸ ὥρας, καὶ γάρ τοι καὶ λιμοὶ λίαν κραταιοὶ συνεπηκολούθουν ὡς εἰκὸς τοῖς γινομένοις. Ἕτεροι δὲ γῆς πατρῴας μεταναστάντες, πλανῆται καὶ φυγάδες ἐπ' ἀλλοτρίας ᾤκουν, πάντων ἔρημοι, πολλὰ τοὺς ἐξ ἀνθρώπων γενομένους εὐδαιμονίζοντες, οὐκ ὀλίγους γε μὴν ἡ ἀνάγκη καὶ εἰς τὰς τῶν χριστιανοκτόνων βαρβάρων χεῖρας αὐτομόλους ἔπειθε τρέχειν τὴν παρ' ἐκείνοις δουλείαν καὶ τὴν συνοίκησιν ἀνεκτοτέραν τῆς μεθ' ἡμῶν κρίνοντες. Αὐτοὶ μέντοι οἱ πολέμιοι, τί ἂν καθ' ἡμῶν ἠύξαντο πλέον· τὰ μὲν γὰρ ἡμέτερα κατὰ τὸ εἰκὸς συνετρίβετο καὶ ἠσθένει· τοῖς δὲ ἡ ἰσχὺς καὶ τὸ καθ' ἡμῶν ἐπηύξησε θάρσος, οὐκ ἦν δὲ οὐδὲ τὸν Θεὸν ἀνέχεσθαι, οὐδὲ τὰ πραττόμενα ὁρῶντα συνευδοκεῖν. Οὔκουν, οὐδὲ ἠνείχετο· ἀλλὰ κατὰ πόδας ἡ ὀργὴ ἠκολούθει, καὶ ἡ δίκη οὐκ ἔμελλεν. Ἑάλω, φεῦ, Χίος, ἀνήρπαστο Μιτυλήνη, ἀρίστατο Κύπρος, Κρήτη, τῶν νήσων αἱ κεφαλαί· τῆς Ἑσπέρας τὸ πλέον ἀγέλαι Σκυθῶν ἐβόσκοντο τῆς Ἀνατολῆς δὲ οὐδὲ βραχὺ λείψανον ὑπελέλειπτο· ἀλλὰ καὶ τούτων οἰχομένων ἁπάντων οἱ κατάλοιποι τῶν ἀνθρώπων, ἄθλιοι πλέον προσεπετρίβοντο ταῖς εἰσπράξεσι, καὶ χρημάτων ἕτεροι ἐφ' ἑτέροις ἐπενοοῦντο πόροι καὶ ὅρος τούτων οὐδείς, οὔτε γέγονεν οὔτε ἔστιν οὐδέπω· καὶ ταῦτα μὲν κεφαλαιωδῶς τὰ πολλὰ παρατρέχων διὰ τὸ πλῆθος καὶ ἅμα ὑπὸ τῶν δακρύων συγχεόμενος καὶ ἀνακοπτόμενος τὴν φωνήν. Σοὶ δὲ ὅπως ἔχει ἡ ψυχὴ ἀκούοντι αὐτὸς ἂν εἰδείης.

Τῶν δὲ πραγμάτων οὕτω καὶ διὰ ταῦτα κακῶς ἐχόντων καὶ οἱονεὶ θανατώντων ἔδει πάντως ὀψέ γοῦν ἀνανῆψαι ἡμᾶς καὶ τῶν οἰκείων βουλευμάτων τε καὶ πρακτέων ἀφεμένους μεταμαθεῖν καὶ διῶξαι τὸ συμφέρον καὶ πρὸς Θεὸν καταφυγεῖν ἁπάσῃ δυνάμει, τὸν μόνον δυνατὸν σώζειν ἐν περιστάσεσιν· ἀλλ' ἡμεῖς οὐδ' οὕτω συνήκαμεν, ἀλλ' ἔμεινε τὰ πάντων δεινότατα πάλιν ἡ χώρα πάσχουσα καὶ παρὰ τῶν πολιορκούντων καὶ οὐδὲν ἧττον τῶν σώζειν δοκούντων. Ὁ μέντοι βασιλεὺς πρὸς μίαν μοῖραν τῶν ἐχθρῶν στρατεύειν ἐγνωκὼς τοὺς Σκύθας τούτους φημὶ πλεονάκις μὲν ἐξώρμησε κατ' αὐτῶν, οὐδέποτε δ' ἐπανήει μὴ τὸ πλεῖστον τῆς στρατιᾶς ἢ καὶ ὁμοῦ πάντας ἀποβαλών. Καὶ πάλιν οὐδὲ οὕτω τὰς τῆς συμφορᾶς αἰτίας ἐρευνήσας τις καὶ μαθεῖν ἄξιοι καὶ τὴν θεραπείαν ἐπιζητῆσαι· ἀλλὰ τὰ μὲν ὅρια τῆς Ῥωμαίων ἡγεμονίας πρὸς μὲν ἀνίσχοντα ἥλιον ἡ τοῦ Βυζαντίου ἀκρόπολις, ἡ πύλη δὲ ἡ χρυσεία πρὸς δύσιν ἐγενέσθην· ἡμεῖς δὲ ἃ πολλὰ καὶ πολλάκις ποιήσαντες εἰς τοῦτο περιέστημεν τοῦ κινδύνου, ταῦτα πάλιν οἷα χρηστὰ καὶ σωτήρια καὶ φρονοῦντες καὶ πράττοντες ἐπιμένομεν. Εἶεν. Ἐπεὶ δὲ τὸ μὲν ἐλέγχειν μόνον οὐ μέγα, ῥᾷστον γὰρ καὶ τοῦ βουλομένου παντός· τὸ δὲ γνώμην χρήσιμον πρὸς τὰ παρόντα διδόναι εὐνοίας ἔργον καὶ λόγου νοῦν ἔχοντος. Φέρε δὴ τὸ τῆς παροιμίας ποιητέον· καὶ ὁ πλήξας ἐγὼ τοῖς ἐλέγχοις ἰάσομαι

τοῖς ἐκ τῶν λόγων αὐθις φαρμάκοις. Πρῶτον μὲν οὐκ ἀπογνωστέον, ὦ βασιλεῦ, τὴν σωτηρίαν οὐδὲ ἀπαγορευτέον πρὸς τὰ παρόντα, κἂν μυρία προσκεκρούκαμεν τῷ Θεῷ, κἂν ἐν ἐσχάτοις κακοῖς τὰ ἡμέτερα. Εὐχερὴς γὰρ ὁ ἐξιλασμός, καὶ ἡ τῶν κινδύνων ἀπαλλαγὴ ἐὰν μόνον ἡμεῖς ἐθελήσωμεν. Ὁ μέγας ἐν προφήταις καὶ βασιλεὺς Δαβὶδ παρεγγυᾶται καὶ Σοὶ καὶ ἡμῖν, ὃ δὴ ποιητέον ἐστὶν οὕτω καὶ ἐπὶ τοσοῦτον ἀσθενήσασι ζητήσατε βοῶν τὸν Κύριον, καὶ κραταιώθητε. Τί τοῦ ζητῆσαι τὸν Κύριον εὐκοπώτερον, καὶ ζητοῦντας εὑρεῖν· οὐκ ἔστι δυσπρόσοδος ἢ δυσέντευκτος, οὐχ ὁδοιπορίας χρεία οὐδὲ πραγματείας πρὸς τὴν εὕρεσιν οὐδεμιᾶς· ἐγγύς σου τὸ ῥῆμά ἐστιν ἐν τῷ στόματί σου καὶ ἐν τῇ καρδίᾳ σου. Τουτέστι τὸ τῆς ἐξομολογήσεως καὶ τῆς ἱκετείας. Δεῦρο στῆθι μετὰ πάντων ἡμῶν εἰς ναὸν Κυρίου· κοινὴ γενέσθω καὶ πάνδημος ἡ δυσώπησις· ἐν συντριβῇ καρδίας καὶ πνεύματι ταπεινώσεως. Εἰσί σοι πολλὰ τῶν οἰκτιρμῶν τοῦ Θεοῦ τὰ ἐχέγγυα· αἱ ἐκ τοῦ παντὸς χρόνου παράδοξοι θεοσημίαι, καὶ μάλιστα ἐν τοῖς περιστατικοῖς τῶν καιρῶν· τὰ εἰς αὐτὸν σὲ πολλάκις πρότερον θαυματουργηθέντα. Μνήσθητι τοῦ βοῶντος Δαβίδ· «ἐταπεινώθην καὶ ἔσωσέ με ὁ Κύριος». Μνήσθητι τῆς Ἐζεκίου συντριβῆς ἐκείνης, δι' ἧς ἄγγελος Θεοῦ ἐν νυκτὶ μιᾷ πέντε καὶ ὀγδοήκοντα καὶ ἑκατὸν τῶν Ἀσσυρίων χιλιάδων ἐπάταξε καὶ κατέστρωσεν, ὑφ' ὧν ἡ Ἱερουσαλὴμ τὴν δεινὴ. ὑφίστατο πολιορκίαν· ὡς τηνικαῦτα τὸ προαγορευθὲν θέσφατον ἐκβῆναι τῷ τε βασιλεῖ καὶ τῇ πόλει· «ὅτι τὸ ἑσπέρας αὐλισθήσεται κλαυθμὸς καὶ εἰς τὸ πρωὶ ἀγαλλίασις». Μνήσθητι καὶ ὅσοι πρὸ τούτων καὶ μετὰ τούτους, Κριταί, Βασιλεῖς, ἰδιῶται, ἔθνη, πόλεις, Θεῷ προστφυγόντες ἢ κοινῇ ἢ καὶ καθέκαστον ἐν ἀνάγκαις καὶ ἱλασάμενοι ἐκ κινδύνων ἀνυπερβλήτων παραδόξως ἐσώθησαν. Ἀλλ' ἐρεῖς ὅτι καὶ ὑμεῖς παννυχίζετε, θαμὰ ποτνιώμενοι καὶ γονυπετοῦντες, Θεὸς δὲ οὐκ εἰσακούει. Φημὶ καὶ αὐτός, μᾶλλον δὲ ὁ Θεὸς ἡμῖν αὐτὸς λέγει· «ὅταν τὰς χεῖρας ὑμῶν ἐκτείνητε πρός με ἀποστρέψω τοὺς ὀφθαλμούς μου ἀφ' ὑμῶν, καὶ ἐὰν πληθύνητε τὴν δέησιν οὐκ εἰσακούσομαι ὑμῶν». Εἶτα καὶ τὴν αἰτίαν· «αἱ γὰρ χεῖρες ὑμῶν αἵματος πλήρεις». Ἆρα οὖν ἀπόγνωσιν διὰ τούτων εἰσάγει· οὐδαμῶς, ἀλλὰ διὰ τῶν ἑξῆς πως τῆς παρ' αὐτοῦ ἀπολαύσομεν εὐμενείας διδάσκει λέγων· «Λούσασθε, καθαροὶ γένεσθε, ἀφέλετε τὰς πονηρίας ἀπὸ τῶν ψυχῶν ὑμῶν, ἀπέναντι τῶν ὀφθαλμῶν μου» καὶ ὅσα τούτοις ἑξῆς ἐπιφέρει. Οὐ γάρ μοι πρὸς ἀμυήτους θείων λόγων ὁ λόγος· καὶ μάλιστα τὸν βέλτιστόν σου αὐτάδελφον, ὃς περὶ τὴν τῶν Γραφῶν ἔρευναν σπουδαιότατός τέ ἐστι καὶ ἐπηβολώτατος. Τὰ ἄλλα τοίνυν πάντα λόγου δευτέρου θέμενοι, καὶ τῶν ἐκθέσμων εἰσπράξεών τε καὶ πράξεων ἀποσχόμενοι δι' ἃς ἡ θεία καθ' ἡμῶν ὀργὴ ἐξεκαύθη καὶ τὰ μὲν ἤδη διορθωσάμενοι· τὰ δὲ καὶ ἐπαγγειλάμενοι Θεῷ κοινὴν μεθ' ἡμῶν ἅπαντων ῥήξατε φωνὴν ἱκετήριον, δάκρυα χέοντες, τὰς καρδίας ἐκχέοντες, ἐκ βάθους στενάζοντες καὶ ἀνακλαιόμενοι φεῖσαι τοῦ λαοῦ σου, Κύριε, λέγοντες, εἰ καὶ μὴ ἡμάρτομεν καὶ ἠνομήσαμεν ἀριθμοῦ κρείττονα, καὶ μὴ εἰς τέλος τὴν κληρονομίαν σου παραδῶς τοῖς διψῶσι τὸν παντελῆ ταύτης ὄλεθρον· δὸς ἡμῖν βοήθειαν ἐκ θλίψεως. Ἰδοὺ γὰρ ἔγνωμεν ὅτι ματαία πᾶσα ἀνθρωπίνη ἐλπὶς καὶ ἐπίνοια· καὶ πάντα καταλιπόντες σοὶ προσπεφεύγαμεν. Ταῦτα καὶ ὅσα τούτοις ὅμοια λέγοντες καὶ ἐκλιπαροῦντες κάμψωμεν πάντως τὸν φιλάνθρωπον Δεσπότην εἰς ἔλεον καὶ ῥάστης καὶ ἀπόνου τῆς σωτηρίας τευξόμεθα. Οὐκ ἀκούεις ἡλίκα κατὰ διαφόρους καιροὺς καὶ κινδύνους ἡ Θεομήτωρ τεθαυματούργηκε περὶ ταύτην δὴ τὴν βασιλίδα πόλιν ὑπ' ἐχθρῶν κυκλωθεῖσαν αὐθημερὸν πολλάκις τῇ ἱκετείᾳ τῆς βοηθείας ἀκολουθησάσης καὶ τῆς κατὰ τῶν πολεμίων ἀμύνης. Οὐκ ἀκούεις ὅτι ἐν ταῖς τοῦ βασιλέως Μιχαὴλ ἡμέραις τοῦ Θεοφίλου παιδὸς Ταυροσκύθαι βαρεῖ στόλῳ προσενεχθέντες καὶ κύκλῳ διαλαβόντες ὥσπερ ἐντὸς δικτύων ἅπασαν εἶχον· τοῦ δὲ βασιλέως σὺν ἀρχιερεῖ καὶ παντὶ τῷ τῆς πόλεως πλήθει, τὸ ἐν Βλαχέρναις καταλαβόντων τέμενος καὶ κοινῇ τὸ θεῖον ἐξιλασαμένων, εἶτα βάπτεται μὲν κατὰ τῆς θαλάσσης ἄκρας τὸ ἅγιον τῆς Θεομήτορος ῥάκος. Μαφόριον σύνηθες τοῦτο καλεῖν· γίνεται δ' εὐθὺς θαῦμα ἔκπληκτον καὶ παράδοξον· ἐκ γὰρ σταθερᾶς μεσημβρίας καὶ νηνεμίας, ἀθρόον ἐκταραχθεῖσα ἡ θάλασσα πάντων τῶν βαρβάρων σὺν αὐτοῖς βυθίζει τὰ σκάφη, ὀλίγων κομιδῇ περιλειφθέντων, ὅσοι δηλονότι ἤρκουν τοῖς οἴκοι τὴν καινὴν ἀγγεῖλαι συμφοράν. Καὶ τί μοι δεῖ πλειόνων καὶ παλαιοτέρων ὑποδειγμάτων· τὸν μακαρίτην Κωνσταντῖνον ἐπίστασαι, ᾧ Δούκας ἦν τὸ ἐπώνυμον· οὐ γὰρ πρὸ πολλοῦ τῆς Σῆς Βασιλείας καὶ τὴν ἀρχὴν ἅμα καὶ τὴν ζωὴν ἀπολέλοιπεν. Οὗτος τοῦ Οὐνικοῦ γένους στρατεύσαντος καθ' ἡμῶν, ποίοις ὅπλοις ἐχρήσατο; ποίους δὲ ἤθροισε συμμάχους, πρεσβείας εἰς ἔθνη στέλλων καὶ θησαυροὺς χρημάτων ἐξαναλίσκων, καὶ πένητας προφάσει τοῦ πολέμου ἐξονυχίζων, καὶ κατὰ Οὔννων, Οὔννους ὁπλίζων, ὡς ὑμεῖς Σκύθας κατὰ Σκυθῶν, καὶ ἑτέρους τοὺς ἡμῖν πολεμιωτάτους, κατὰ τῶν ἐκείνοις οἰκειοτάτων. Οὐχὶ τῆς τοῦ βασιλέως πίστεως ἔργον αἱ πολλαὶ μυριάδες ἐκεῖναι γεγόνασι δάκρυσι πολλοῖς καὶ ἐκτενεῖ προσευχῇ τὸ θεῖον ἐξευμενίσαντος.

(ἕπεται συνέχεια).

ΕΚΚΛΗΣΙΑΣΤΙΚΑ ΧΡΟΝΙΚΑ

—*Συνεδρία Δύο Σωμάτων.*—Τὰ δύο Σώματα, ἡ ἁγία καὶ ἱερὰ Σύνοδος καὶ τὸ ἔντιμον Δ. Ε. Μ. Συμβούλιον συνελθόντα σήμερον εἰς κοινὴν συνεδρίαν ὑπὸ τὴν προεδρείαν τῆς Α. Θ. Παναγιότητος ἐσκέψαντο περί τινων ἐπειγόντων ζητημάτων.

Τῆς συνεδρίας ταύτης ἀπῆσαν ἐκ μὲν τῶν μελῶν τῆς ἱερᾶς Συνόδου οἱ σεβασμιώτατοι μητροπολῖται Ἀδριανουπόλεως Κύριλλος καὶ Μαρωνείας Ἰωακείμ, ἐκ δὲ τῶν τοῦ Συμβουλίου οἱ ἀξιότιμοι κκ. Μ. Μαράσογλους, Κ. Ξανθοπουλίδης καὶ Α. Σούρλας.

—*Ἱ. Σύνοδος.*—Ἡ Α. Θ. Π. ὁ Οἰκουμενικὸς Πατριάρχης ἀναρρώσας ἐκ τῆς ἐλαφρᾶς ἀδιαθεσίας αὐτοῦ προήδρευσε τῶν τακτικῶν συνεδριῶν τῆς παρελθούσης Τρίτης καὶ Πέμπτης.

Τῆς συνοδικῆς συνεδρίας τοῦ παρελθόντος Σαββάτου ἀπῆσαν οἱ σεβασμιώτατοι μητροπολῖται Δέρκων Καλλίνικος, ἕνεκα τῆς ἀγρυπνίας ἑορτῆς αὐτοῦ, καὶ Ἀδριανουπόλεως Κύριλλος ἕνεκα πένθους. Τῆς συνοδικῆς δὲ ταύτης συνεδρίας προήδρευσεν ὁ μετὰ τὸν πρῶτον τῇ τάξει ἐρχόμενος ἐκ τῶν ἁγίων συνοδικῶν σεβασμιώτατος μητροπολίτης Ἀμασείας Ἄνθιμος.

Τῆς δὲ χθεσινῆς ἀπῆν ἕνεκα ἀδιαθεσίας ὁ σεβασμιώτατος μητροπολίτης Μαρωνείας κ. Ἰωακείμ.

— *Ἐπέτειος ὀνόματος.*—Τῷ παρελθόντι Σαββάτῳ ἑώρτασε τὴν ἐπέτειον τοῦ ὀνόματος αὐτοῦ ἑορτὴν ὁ ἐκ τῶν ἁγίων συνοδικῶν σεβασμιώτατος μητροπολίτης Δέρκων Καλλίνικος. Ἐπὶ τούτῳ δὲ ἡ Α. Σεβασμιότης ἐδέξατο τὰς ἐπισκέψεις πάντων τῶν ἁγίων συνοδικῶν, μελῶν τινων τοῦ διπλωματικοῦ σώματος, πλείστων ἄλλων λογάδων καὶ ἐγκρίτων ὁμογενῶν καὶ ξένων καὶ τῶν ἀνωτέρων πατριαρχικῶν ὑπαλλήλων.

Ἡ Α. Θ. Παναγιότης συνεχάρη τῇ Α. Σεβασμιότητι διὰ τοῦ πανοσιολογιωτάτου Μ. Πρωτοσυγκέλλου Χρυσοστόμου.

Αὐθημερὸν ἡ Α. Θ. Π. συνεχάρη τηλεγραφικῶς καὶ τοῖς ἑορτάζουσι μητροπολίταις Παραμυθίας καὶ Φιλιατῶν Καλλινίκῳ καὶ τῷ πρώην Μογλενῶν διὰ τοῦ πανοσιολ. Δευτερεύοντος Παρθενίου.

—*Ἀπονομὴ παρασήμων*—Εὐαρέστως ἀναγράφομεν ὅτι ἡ Σ. Αὐτοκρατορικὴ Κυβέρνησις εὐηρεστήθη ν' ἀπονείμῃ ἐσχάτως τοῖς σεβασμιωτάτοις ἀρχιεπισκόποις Νεαπόλεως Ἀρσενίῳ καὶ Διοκαισαρείας Νικοδήμῳ, ἐκ τῶν διαπρεπῶν ἀρχιερέων τοῦ κλίματος τοῦ Ἱεροσολυμιτικοῦ Θρόνου, τῷ μὲν πρώτῳ τὸ παράσημον Ὀσμανιὲ β' τάξεως, τῷ δὲ δευτέρῳ τὸ Μετζηδιὲ τῆς αὐτῆς τάξεως.

—*Ἐπισκέψεις.* — Τῇ παρελθούσῃ Τρίτῃ ὁ πανοσιολογιώτατος Μ. Πρωτοσύγκελλος Χρυσόστομος ἐν συνοδίᾳ τοῦ ἐκ τῶν διαγγελέων τῶν Πατριαρχείων Δημητρίου Τσολακίδου μετέβη εἰς τὸ ἐν Κοντοσκαλίῳ Ἀρμενικὸν Πατριαρχεῖον καὶ συνεχάρη τῷ Μακαριωτάτῳ Πατριάρχῃ Μαλαχίᾳ Ὀρμανιάν, ἄγοντι τὴν ἐπέτειον τοῦ ὀνόματος αὐτοῦ ἑορτήν, ἐκ μέρους τῆς Α. Θ. Παναγιότητος.

Αὐθημερὸν ἐπεσκέψατο τὴν Α. Θ. Παναγιότητα ἡ Α. Ε. ὁ ἐπιτετραμμένος τῆς Ἑλλάδος ἐνταῦθα κ. Γρυπάρης ἐν συνοδίᾳ τοῦ Α' διερμηνέως τῆς πρεσβείας κ. Ναούμ· σήμερον δὲ ἡ Α. Ε. ὁ πρεσβευτὴς τῆς Σερβίας κ. Μαγιάτοβιτς.

—*Ἀναγνώρισις τῆς ἐκλογῆς τοῦ Πατριάρχου Ἀλεξανδρείας.*— Δι' αὐτοκρατορικοῦ διατάγματος ἐπεκυρώθη ἡ ἐκλογὴ τοῦ Μακαριωτάτου Πατριάρχου Ἀλεξανδρείας Φωτίου.

— *Μητροπολίτης Σισανίου.*—Ὁ πανιερώτατος μητροπολίτης Σισανίου καὶ Σιατίστης Σεραφεὶμ τηλεγραφικῶς ἤγγειλε τῇ Ἐκκλησίᾳ ὅτι κἀκεῖθεν ἀφίκετο εἰς τὴν ἕδραν τῆς ἐπαρχίας αὐτοῦ καὶ θερμῆς ἔτυχεν ὑποδοχῆς παρὰ τῷ ποιμνίῳ αὐτοῦ.

—*Μητροπολίτης Χαλδείας.*—Τῇ παρελθούσῃ Δευτέρᾳ ἐπανέκαμψεν εἰς βασιλεύουσαν ἐξ ἁγίου Ὄρους, ἔνθα χάριν προσκυνήσεως τῶν ἱερῶν σκηνωμάτων ἐκκλησιαστικῇ ἀδείᾳ εἶχε μεταβῇ πρό τινος, ὁ πανιερώτατος μητροπολίτης Χαλδείας Γερβάσιος τυχὼν πανταχοῦ φιλαδέλφου δεξιώσεως. Ἡ Α. Πανιερότης μετὰ βραχεῖαν ἐνταῦθα διαμονὴν ἐπιστρέψει εἰς τὴν ἐπαρχίαν αὐτοῦ, ἀφ' ἧς ἀπὸ ἱκανοῦ ἀπουσιάζει.

— *Μητροπολίτης Νευροκοπίου.* — Ὁ πανιερώτατος μητροπολίτης Νευροκοπίου Νικόδημος ἀπῆλθε τῇ παρελθούσῃ Δευτέρᾳ εἰς τὴν ἐπαρχίαν αὐτοῦ προπεμφθεὶς ὑπὸ πολλῶν κληρικῶν καὶ λαϊκῶν φίλων αὐτοῦ.

—*Ἄφιξις.*—Τῇ παρελθούσῃ ἑβδομάδι ἐπανέκαμψεν ἐξ ἁγίου Ὄρους ὁ ἐπ' ἀδείᾳ ἐπὶ μικρὸν ἀπουσιάσας πανοσιολ. ἀρχιμανδρίτης Ἰωακεὶμ Φορόπουλος, ἀρχειοφύλαξ τοῦ Οἰκουμενικοῦ Πατριαρχείου.

ΔΗΛΩΣΙΣ

Περατουμένης ὁσονούπω τῆς ἐκτυπώσεως τῆς Συλλογῆς τῶν Πατριαρχικῶν, Συνοδικῶν καὶ λοιπῶν ἐκκλησιαστικῶν ἐγκυκλίων, παρακαλοῦνται πάντες οἱ λαβόντες ἀγγελίας αὐτῆς ὅπως ἐπιστρέψωσιν αὐτὰς τὸ ταχύτερον διὰ τὰ περαιτέρω.

Ἐν τοῖς Πατριαρχείοις, τῇ 1 Αὐγούστου 1900.

ὁ Διευθυντὴς
τοῦ Π. Πρωτοκόλλου
ΙΩΑΝΝΗΣ ΣΤΑΥΡΙΔΗΣ

Ο ΕΝ ΚΩΝΣΤΑΝΤΙΝΟΥΠΟΛΕΙ ΕΚΚΛΗΣΙΑΣΤΙΚΟΣ ΜΟΥΣΙΚΟΣ ΣΥΛΛΟΓΟΣ

Πρὸς τοὺς ἁπανταχοῦ μουσικοὺς καὶ ἱεροψάλτας.

Ἐπειδὴ ἐκ τῶν 19 ἔργων τῶν σταλέντων εἰς τὸν ἡμέτερον Σύλλογον διὰ τὸ προκηρυχθὲν διαγώνισμα περὶ μελοποιήσεως ὕμνου εἰς τὸν προστάτην τοῦ Συλλόγου ἅγιον Ἰωάννην τὸν Δαμασκηνόν, πάντα ἀνεπαρκῆ ἐκρίθησαν ὑπὸ τῆς ἀγωνοδίκου ἐπιτροπῆς ὡς πρὸς τοὺς ὅρους τοῦ Διαγωνισμοῦ, πέντε δὲ μόνον ἐπηνέθησαν, τὰ ἐν κεφαλίδι φέροντα τὰς ῥήσεις, α') «Οἵαν σχέσιν ἔχει ἡ νεωτέρα ἑλληνικὴ γλῶσσα πρὸς τὴν ἀρχαίαν ἑλληνικήν, τὴν αὐτὴν σχέσιν ἔχει καὶ ἡ νεωτέρα ἑλληνικὴ μουσική, ἐκκλησιαστική τε καὶ δημώδης, πρὸς τὴν ἀρχαίαν ἑλληνικήν», β') «Πολλοὶ ἐπανίστανται ἐπ' ἐμέ», γ') «Ἐάν τις θέλῃ ποιῆσαι κανόνα πρῶτον δεῖ ποιῆσαι τὸν Εἱρμόν, εἶτα ἐπαγαγεῖν τὰ Τροπάρια ἰσοσυλλαβοῦντα καὶ ὁμοτονοῦντα καὶ τὸν σκοπὸν ἀποσώζοντα», δ') «Τὰ ἀρχαῖα κρατείτω» καὶ ε') «Ἀεὶ τὰ βέλτιστα κρατεῖν», ὁ ἡμέτερος Ἐκκλησιαστικὸς Μουσικὸς Σύλλογος προκηρύσσει ἐκ νέου ὑπὸ τοὺς αὐτοὺς ὅρους τὸν αὐτὸν διαγωνισμόν, συνῳδὰ τῷ 86 ἄρθρῳ τοῦ Κανονισμοῦ, νέαν παρέχων προθεσμίαν, λήγουσαν τῇ 1 σεπτεμβρίου 1900.

Ἀνακοινοῦντες δ' ὑμῖν ὅτι ἡ κρίσις γενήσεται τῇ 15 σεπτεμβρίου 1900, πεπείσμεθα ὅτι πάντες οἱ διαγωνισθησόμε-

νοι θ' ἀποφύγωσιν ἐν τῇ μελοποιήσει τοῦ ὕμνου τὰ Παπαδικὰ καὶ τὰ ἀργὰ στιχηραρικὰ μέλη ὡς καὶ τὰς εὐρωπαϊκὰς μελῳδίας

Διατελοῦμεν μεθ' ὑπολήψεως.

Ἐν τοῖς πατριαρχείοις, τῇ 1 Αὐγούστου 1900.

Ὁ Πρόεδρος

† Ὁ Ἀμασείας ΑΝΘΙΜΟΣ

Ὁ Γεν. Γραμματεὺς

Γ. Ι. ΠΑΠΑΔΟΠΟΥΛΟΣ

Ἡ ἐπὶ τῶν Διαγωνισμάτων Ἐπιτροπὴ

Γ. Ι. ΠΑΠΑΔΟΠΟΥΛΟΣ, πρόεδρος
Γ. ΒΙΟΛΑΚΗΣ, Πρωτοψάλτης τῆς Μ. Ἐκκλησίας
Ε. Γ. ΑΜΑΞΟΠΟΥΛΟΣ
ΑΝΔΡ. ΣΠΑΘΑΡΗΣ
ΕΥΣΤΡ. Γ. ΠΑΠΑΔΟΠΟΥΛΟΣ
Ν. Α. ΚΑΜΑΡΑΔΟΣ
Γ. ΒΙΝΑΚΗΣ

ΙΕΡΑ ΜΗΤΡΟΠΟΛΙΣ ΠΕΛΑΓΩΝΕΙΑΣ

ΕΚΚΛΗΣΙΑΣΤΙΚΟΝ ΔΙΚΑΣΤΗΡΙΟΝ

Καλεῖται ὁ Μπόσης Πέτκου ὑπήκοος ὀθωμανὸς τέως μὲν κάτοικος τοῦ χωρίου Κανίνου τοῦ νομοῦ Μοναστηρίου καὶ τῆς ἐπαρχίας Πελαγωνείας, νῦν δ' ἀγνώστου διαμονῆς καὶ ἐπαγγέλματος ὅπως τὴν πρώτην δικάσιμον Δευτέραν καὶ ὥραν 2 τῆς ἡμέτας τουρκιστὶ μετὰ τὴν παρέλευσιν τριάκοντα καὶ μιᾶς ἡμερῶν ἀπὸ τῆς πρώτης διὰ τῆς ἐφημερίδος δημοσιεύσεως τῆς παρούσης κλήσεως ἐμφανισθῇ εἴτε αὐτοπροσώπως, εἴτε διὰ νομίμως διοριζομένου πληρεξουσίου πρὸ τοῦ ἐν τῇ Μητροπόλει Πελαγωνείας Ἐκκλησιαστικοῦ Δικαστηρίου ὡς ὑπὸ τῆς ἑαυτοῦ γυναικὸς Μένκας Μπόση θυγατρὸς Δημητρίου ὑπηκόου ὀθωμανῆς τὰ οἰκιακὰ ἐπαγγελλομένης καὶ κατοίκου τοῦ χωρίου Βελουσίνης τῆς αὐτῆς ἐπαρχίας, ἐναγόμενος ἐπὶ διετεῖ ἐγκαταλείψει. Προσεπιδηλοῦται δ' αὐτῷ, ὅτι, ἐὰν μὴ ἐμφανισθῇ κατὰ τὴν ὡς ἄνω ὁριζομένην δικάσιμον, ἡ κατ' αὐτοῦ ἀγωγὴ περὶ διαζυγίου θεωρηθήσεται ἐρήμην αὐτοῦ. Ἡ παροῦσα κλῆσις τρὶς δημοσιευθήσεται κατὰ συνέχειαν διὰ τοῦ ἐν Κων)πόλει ἐκδιδομένου φύλλου «Ἐκκλησιαστικῆς Ἀληθείας».

Ἐν Μοναστηρίῳ, τῇ 15 Ἰουλίου 1900. 2

Ὁ Πρόεδρος — Ὁ Γραμματεὺς

† Ὁ Πελαγωνείας ΑΜΒΡΟΣΙΟΣ — καὶ ἀ. ἀ.

Α. Νέτσος

ΟΙΚΟΥΜΕΝΙΚΟΝ ΠΑΤΡΙΑΡΧΕΙΟΝ

ΠΝΕΥΜΑΤΙΚΟΝ ΔΙΚΑΣΤΗΡΙΟΝ

Καλεῖται ὁ Γεώργιος Φλωρίδης, ὑπήκοος Ὀθωμανός, τέως μὲν κάτοικος Διπλοκιονίου τοῦ Βοσπόρου καὶ μεσίτης ἐν τῇ Μ. ἀγορᾷ, νῦν δ' ἀγνώστου διαμονῆς καὶ ἐπαγγέλματος, ὅπως τὴν πρώτην δικάσιμον Δευτέραν καὶ ὥραν 8 εὐρωπαϊστὶ πρὸ μεσημβρίας μετὰ τὴν παρέλευσιν τριάκοντα καὶ μιᾶς ἡμερῶν ἀπὸ τῆς πρώτης διὰ τῶν ἐφημερίδων δημοσιεύσεως τῆς παρούσης κλήσεως ἐμφανισθῇ, εἴτε αὐτοπροσώπως εἴτε δ' ἀντιπροσώπου νομίμως διωρισμένου, πρὸ τοῦ ἐν τοῖς Πατριαρχείοις Πνευματικοῦ Δικαστηρίου, ὡς ὑπὸ τῆς ἑαυτοῦ γυναικὸς Ἀναστασίας Γ. Φλωρίδου, θυγατρὸς Μιχαὴλ Γουροπούλου, ὑπηκόου ὀθωμανῆς, τὰ γυναικεῖα ἐπαγγελλομένης, κατοίκου Πέραν (Ἐγρῆ-σοκὰκ ἀρθ. 4), ἐναγόμενος ἐπὶ ἀναιτίῳ τριετεῖ ἐγκαταλείψει καὶ πεντελεῖ ἀμεριμνησίᾳ. Προσεπιδηλοῦται δι' αὐτῷ ὅτι, ἐὰν μὴ ἐμφανισθῇ κατὰ τὴν ὡς ἄνω ὁριζομένην δικάσιμον, ἡ κατ' αὐτοῦ ἀγωγὴ περὶ διαζυγίου θεωρηθήσεται ἐρήμην αὐτοῦ· Ἡ παροῦσα κλῆσις τρὶς δημοσιευθήσεται κατὰ συνέχειαν διὰ τῶν ἐν Κων)πόλει ἐκδιδομένων φύλλων «Ἐκκλησιαστικῆς Ἀληθείας» καὶ «Ταχυδρόμου». 2

Ἐν τοῖς Πατριαρχείοις, τῇ 26 Ἰουλίου 1900

Ὁ Πρόεδρος

† Ὁ Κορυτσᾶς ΓΕΡΒΑΣΙΟΣ

Ὁ Γραμματεὺς

Διάκονος Ἄνθιμος Π. Ορφανίδης

Ὅ,τι ἀκριβὲς ἀντίγραφον αὐθημερὸν

Ὁ Γραμματεὺς

Διάκονος Ἄνθιμος Π. Ὀρφανίδης

ΠΝΕΥΜΑΤΙΚΟΝ ΔΙΚΑΣΤΗΡΙΟΝ ΤΗΣ ΜΗΤΡΟΠΟΛΕΩΣ ΕΡΣΕΚΙΟΥ

Τὸ Πνευματικὸν Δικαστήριον τῆς Ἱ. Μητροπόλεως Ἐρσεκίου ἐπιλαβόμενον ἐν τῇ τακτικῇ αὐτοῦ συνεδριάσει τῆς 19 Ἰουνίου τῆς ἐξετάσεως τῆς ὑποβληθείσης αὐτῷ συζυγικῆς διαφορᾶς μεταξὺ τῆς Δαρίνκας Δανίλοβιτς, τὸ γένος Δραγίτσεβιτς, καὶ τοῦ Δούσαν Δανίλοβιτς, ἀμφοτέρων κατοίκων τοῦ χωρίου Τσαπλίνης τῆς ἐνορίας Γαβέλλης, καλεῖ τὸν Δούσαν Δανίλοβιτς, διαμένοντα νῦν, ἄγνωστον ποῦ ἐν τῷ ὀθωμανικῷ κράτει, ἵνα ἐμφανισθῇ εἴτε αὐτοπροσώπως εἴτε δι' ἀντιπροσώπου αὐτοῦ πρὸ τοῦ πνευματικοῦ τούτου δικαστηρίου μέχρι τοῦ τέλους Ὀκτωβρίου 1900, ὡς ἐναγόμενος ὑπὸ τῆς συζύγου αὐτοῦ ἐπὶ διαζεύξει. Προσεπιδηλοῦται δ' αὐτῷ ὅτι, ἐὰν μὴ ἐμφανισθῇ κατὰ τὸν ὡς ἄνω ὁριζόμενον χρόνον, ἡ κατ' αὐτοῦ ἀγωγὴ θεωρηθήσεται ἐρήμην αὐτοῦ, διοριζομένου ὑπὸ τοῦ Πνευματικοῦ Δικαστηρίου ἐξ ὀφικίου ἀντιπροσώπου αὐτοῦ. Ἡ παροῦσα κλῆσις δημοσιευθήσεται τρὶς κατὰ συνέχειαν διὰ τῆς ἐν Κωνσταντινουπόλει ἐκδιδομένης ἐφημερίδος «Ἐκκλησιαστικῆς Ἀληθείας», ὡς καὶ διὰ τῶν ἐν Σαραϊέβῳ ἐκδιδομένων ἐφημερίδων «Βστότσνικ» καὶ «Σαράϊεβσκι Λίστ».

Μοστάρ, 19 Ἰουνίου 1900. 2

Ἡ Διεύθυνσις τοῦ Πατριαρχικοῦ Τυπογραφείου ἀγγέλλει τῷ δημοσίῳ ὅτι ἐν τῷ καταστήματι τούτῳ γίνονται δεκταὶ παραγγελίαι ἐκτυπώσεως **βιβλίων, ἐκκλησιαστικῶν μουσικῶν βιβλίων, φυλλαδίων, διπλοτύπων, πινάκων, ἀγγελτηρίων, ἐπισκεπτηρίων** καὶ παντὸς εἴδους ἐντύπων εἰς τὴν ἑλληνικὴν, τὴν τουρκικὴν καὶ τὰς λοιπὰς εὐρωπαϊκὰς γλώσσας.

Ὁ ὑπεύθυνος Ι. Δ. ΤΑΝΤΑΛΙΔΗΣ

ΕΚ ΤΟΥ ΠΑΤΡΙΑΡΧΙΚΟΥ ΤΥΠΟΓΡΑΦΕΙΟΥ.

ΕΚΚΛΗΣΙΑΣΤΙΚΗ ΑΛΗΘΕΙΑ

ΕΒΔΟΜΑΔΙΑΙΟΝ ΔΕΛΤΙΟΝ

ΕΚΔΙΔΟΜΕΝΟΝ ΚΑΤΑ ΠΑΡΑΣΚΕΥΗΝ

ΕΤΟΣ Κ'. ΕΝ ΚΩΝΣΤΑΝΤΙΝΟΥΠΟΛΕΙ, 11 ΑΥΓΟΥΣΤΟΥ 1900 **ΑΡΙΘ. 32**

ΔΙΕΥΘΥΝΟΥΣΑ ΕΠΙΤΡΟΠΗ

† Ὁ Γρεβενῶν **ΔΩΡΟΘΕΟΣ** (πρόεδρος)
† Ὁ Μέγας Πρωτοσύγκελλος ΧΡΥΣΟΣΤΟΜΟΣ
† Ὁ Ἀρχιγρ. τῆς Ἱ. Συνόδου ΦΩΤΙΟΣ (ταμίας)
† Ὁ Μέγας Ἀρχιδιάκονος ΛΑΥΡΕΝΤΙΟΣ
ΧΡ. ΠΑΠΑ-Ι-ΩΑΝΝΟΥ (γραμματεύς)

ΣΥΝΔΡΟΜΗ ΕΤΗΣΙΑ

καθ' ὅλον τὸ ὀθωμαν. κράτος μετζίτια ἀργ. **5**
διὰ τὸν κατώτερον κλῆρον καὶ τοὺς δημοδιδασκ. **3**
ἐν τῷ ἐξωτερικῷ φράγκα χρυσᾶ **25**

ἑξαμηνιαία τὰ ἡμίσυ

Ἡ Συνδρομὴ προκαταβάλλεται

Αἱ συνδρομαὶ ἄρχονται τὴν 1 Ἰανουαρίου

ΠΕΡΙΕΧΟΜΕΝΑ

Ἐκκλησιαστικὰ χρονικά — Ἱστορικὸν ζήτημα ἐκκλησιαστικὸν ἐπὶ τῆς βασιλείας Ἀλεξίου Κομνηνοῦ ὑπὸ Ἀλεξάνδρου Ε. Λαυριώτου — Ἀνάλεκτα ἐκ τῶν πατριαρχικῶν Κωδίκων — Κοινοποιήσεις

ΕΚΚΛΗΣΙΑΣΤΙΚΑ ΧΡΟΝΙΚΑ

Ἀδιαθεσία Πατριάρχου. — Ἰδιαίτερον ἰατρικὸν συμβούλιον ἐκ τῶν ἐγκρίτων ὁμογενῶν ἰατρῶν Καμπούρογλου, Εὐθυβούλη, Βασιλειάδου καὶ Σπανούδη, ἀπεφήνατο ὑπὲρ τῆς ἀνάγκης ἵνα ἡ Α. Θ. Παναγιότης ἀπόσχῃ ἐπί τινα χρόνον πάσης ἐργασίας χάριν τῆς πλήρους ἀποκαταστάσεως τῆς ὑγείας αὐτῆς. Ἡ Α.Θ.Π. συμμορφουμένη πρὸς τὴν ἀπόφασιν ταύτην μετέβη τῷ παρελθόντι Σαββάτῳ εἰς Χάλκην, ἔνθα διατρίψει ἐπί τινα καιρὸν ἐν τῇ Θεολογικῇ Σχολῇ.

Κατὰ τὴν ἀπουσίαν ταύτην τῆς Α. Θ. Π. τῶν τακτικῶν συνοδικῶν συνεδριῶν θέλει προεδρεύει ὁ πρῶτος τῇ τάξει τῶν ἁγίων συνοδικῶν σεβασμιώτατος μητροπολίτης Δέρκων Καλλίνικος.

—Παρήγυρις ναοῦ. — Πανηγυρίζοντος τῇ παρελθούσῃ Κυριακῇ τοῦ ἐν Γαλατᾷ ἱεροῦ ναοῦ τῆς θείας Μεταμορφώσεως τοῦ Σωτῆρος, ὁ ἐκ τῶν ἁγίων συνοδικῶν σεβασμιώτατος μητροπολίτης Βερροίας Κωνστάντιος ἐχοροστάτησεν ἐν αὐτῷ κατὰ τὸν ἑσπερινὸν καὶ τῇ ἐπαύριον ἐτέλεσε, συνιερουργούντων τοῦ ἐκ τῶν ἁγίων συνοδικῶν σεβασμιωτάτου ἁγίου Ἐλευθερουπόλεως Διονυσίου καὶ τοῦ θεοφιλεστάτου ἐπισκόπου Συννάδων Εὐγενίου, τὴν θείαν καὶ ἱερὰν λειτουργίαν, καθ' ἣν προεχείρισεν εἰς ἱερέα τὸν ἱεροδιάκονον Ἀμβρόσιον Πλειανθίδην, ἀπόφοιτον τῆς ἐν Κιέβῳ πνευματικῆς Ἀκαδημείας, ὑπότροφον δὲ τῆς Α. Θ. Π. τοῦ Οἰκουμενικοῦ Πατριάρχου, διορισθέντα προϊστάμενον τῆς ἐν Σεβαστουπόλει ἑλληνικῆς κοινότητος.

—Πατριαρχικαὶ προσρήσεις. — Τῆς Α. Καισαροβασιλικῆς Μεγαλειότητος τοῦ αὐτοκράτορος τῆς Αὐστροουγγαρίας Φραγκίσκου Ἰωσὴφ ἄγοντος τῷ παρελθόντι Σαββάτῳ τὴν ἐπέτειον τῶν γενεθλίων αὐτοῦ ἑορτήν, ἡ Α. Θ. Π. ὁ Οἰκουμενικὸς Πατριάρχης διεβίβασε τὰς ἐπὶ τούτῳ πατριαρχικὰς αὐτοῦ προσρήσεις τῇ Α. Ε. τῷ ἐνταῦθα πρεσβευτῇ τῆς Αὐστρίας βαρόνῳ Κάλιτς διὰ τοῦ πανοσιολογιωτάτου Μ. Πρωτοσυγκέλλου Χρυσοστόμου καὶ τοῦ διευθυντοῦ τοῦ Α. Πατριαρχικοῦ Γραφείου κ. Ἰωάννου Δ. Ταντελίδου.

— Ἐπισκέψεις. — Τὴν παρελθοῦσαν Τρίτην ὁ Μ. Πρωτοσύγκελλος μεταβὰς εἰς τὸ ἐν Ὀρτάκιοϊ μέγαρον τῆς Α. Ἐξ. τοῦ Ὑπουργοῦ τῶν Θρησκευμάτων διεβίβασε τῇ Α. Ἐξοχότητι τὰς ἐπὶ τῇ ἀναρρώσει Αὐτῆς εὐχὰς τῆς Α. Θ. Παναγιότητος.

Τὴν παρελθοῦσαν Δευτέραν ἡ Α. Μ. ὁ Πατριάρχης τῶν Ἀρμενίων κ. Μαλαχίας Ὀρμανιὰν ἐν συνοδίᾳ δύο ἐκ τῶν ἐπιλεκτοτέρων μελῶν τῆς Ἀρμενικῆς Κοινότητος τοῦ ἐξοχωτάτου Στεφὰν πασᾶ Ἀσλανιὰν καὶ τοῦ Ρετέος ἐφένδη, Διευθυντοῦ τοῦ ὁμωνύμου ἐν Σκουτάρει Ἀρμενικοῦ Γυμνασίου, μεταβάντες εἰς Χάλκην ἐπεσκέψαντο τὴν Α. Θ. Π. τὸν Οἰκουμενικὸν Πατριάρχην καὶ διηρώτησαν τὰ περὶ τῆς ὑγείας του. Ἡ Α. Μακαριότης μετὰ τῶν συνοδῶν Αὐτῆς ἐπεσκέψατο εἶτα καὶ ὅλον τὸ κτίριον τῆς Θεολ. Σχολῆς ἀποκομισάμενος ἀρίστας ἐντυπώσεις.

Χθὲς δὲ Πέμπτην ὁ Μ. Πρωτοσύγκελλος Χρυσόστομος κατ' ἐντολὴν πατριαρχικὴν μεταβὰς παρὰ τῇ Α. Μ. τῷ Πατριάρχῃ Ὀρμανιὰν διηρμήνευσε τὰς εὐχαριστίας τῆς Α. Θ. Παναγιότητος ἐπὶ τῷ φιλαδέλφῳ ἐνδιαφέροντι καὶ τῇ ἐπισκέψει.

—Κοινοτικὰ Θεσσαλονίκης. — Ὁ σεβασμιώτατος μητροπολίτης Θεσσαλονίκης Ἀθανάσιος διὰ γράμματος αὐτοῦ ἀνεκοινώσατο τῇ Ἐκκλησίᾳ ὅτι συμφώνως τῇ διαβιβασθείσῃ αὐτῷ συνοδικῇ ἐγκρίσει κατήρτι-

σε τὰ ἐξ ὀφρικίου σωματεῖα τῆς Κοινότητος, ἅπερ καὶ ἀνέλαβον τὰ ἀνατεθέντα αὐτοῖς καθήκοντα.

—*Ἐπέτειος ὀνόματος.* — Χθὲς ἦγε τὴν ἐπέτειον τοῦ ὀνόματος αὐτοῦ ἑορτὴν ὁ πανοσιολ. Μέγας Ἀρχιδιάκονος Λαυρέντιος. Ἡ Α. Πανοσιολογιότης ἐδέξατο τὰς συγχαρητηρίους ἐπὶ τούτῳ εὐχὰς τῶν ἁγίων συνοδικῶν ἀρχιερέων, πολλῶν ἐγκρίτων ἄλλων κληρικῶν καὶ λαϊκῶν φίλων ὡς καὶ πάντων τῶν πατριαρχικῶν ὑπαλλήλων.

—*Μητροπολίτης Μελενίκου.* — Ὁ πανιερώτατος μητροπολίτης Μελενίκου Λεόντιος τηλεγραφικῶς ἤγγειλε τῇ Ἐκκλησίᾳ τῷ παρελθόντι Σαββάτῳ ὅτι ἀμέσως κατευθυνθήσεται εἰς βασιλεύουσαν.

—*Μητροπολίτης Σωζοαγαθουπόλεως.* — Τῷ παρελθόντι Σαββάτῳ ἀπῆλθεν εἰς τὴν ἐπαρχίαν αὐτοῦ προπεμφθεὶς ὑπὸ πολλῶν κληρικῶν καὶ λαϊκῶν φίλων αὐτοῦ ὁ πανιερώτατος μητροπολίτης Σωζοαγαθουπόλεως Κωνσταντῖνος.

—*Πρώην Νευροκοπίου.*—Ὁ πανιερώτατος μητροπολίτης πρώην Νευροκοπίου Νεόφυτος ἤγγειλε τῷ παρελθόντι Σαββάτῳ τῇ Ἐκκλησίᾳ ὅτι ἀπῆλθεν ἐκ τῆς τέως ἐπαρχίας αὐτοῦ καὶ ἀφίκετο εἰς ἅγιον Ὄρος ἐγκαταστὰς ἐν τῇ ἱερᾷ Μονῇ τῶν Ἰβήρων.

—*Καθαίρεσις διακόνου.*—Τῆς πολιτείας τοῦ τέως διακόνου Στεφάνου ἐκ τοῦ χωρίου Ἀκδὰγ-Μαδὲν τῆς ἐπαρχίας Χαλδείας ὁρμωμένου, ἐν Ἀδάνοις δὲ χειροτονηθέντος, θεωρηθείσης ἀντικανονικῆς καὶ ὅλως ἀπαδούσης πρὸς τὸ ὃ ἔφερε σχῆμα, ἡ ἁγία καὶ ἱερὰ Σύνοδος ἐν τῇ συνεδρίᾳ τῆς παρελθούσης Τρίτης προέβη εἰς τὴν καθαίρεσιν αὐτοῦ.

ΙΣΤΟΡΙΚΟΝ

ΖΗΤΗΜΑ ΕΚΚΛΗΣΙΑΣΤΙΚΟΝ

ΕΠΙ ΤΗΣ

ΒΑΣΙΛΕΙΑΣ ΑΛΕΞΙΟΥ ΚΟΜΝΗΝΟΥ

ὑπὸ

Ἀλεξάνδρου Ε. Λαυριώτου*

Ἀλλὰ νῦν φημι τῶν βασιλικῶν θησαυρῶν ἐκκενουμένων καὶ τῶν ἔξωθεν εἰσφερομένων κομιδῇ ἠλαττωμένων ἀναγκαίως ταῖς προσόδοις οἱ πόροι πανταχόθεν ἐπινενόηνται· τὸ δὲ δικαίως ἢ ἀδίκως, οὐ δίδωσι σκοπεῖν ὁ καιρός. βασιλείαν γὰρ συνεστάναι ὅλως μὴ στρατιωτικὸν τρέφουσαν, καὶ ταῦτα ἐν τῷ παρόντι ἀμήχανον· σκῆψις ταῦτα καὶ εἰρωνεία, ὅταν γὰρ προβάλλησθε τὰ τοιαῦτα μάλιστα μὲν ἀντιφθέγγοντας ὑμῖν ἄλλα τε πολλὰ καὶ μέντοι καὶ κτημάτων περιβολαὶ καὶ αἱ ἐντὸς πόλεως πόλεις καὶ κτισμάτων ὑπερβολαί, καὶ τὰ πολλὰ βασίλεια, καὶ οἱ ἐφ' ἑκάστου κατὰ τὸ εἰκὸς θησαυροὶ καὶ ἡ μεριστεῖσα βασιλεία, καὶ διὰ τοῦτο μηδὲ ἱσταμένη ἐπ' ἀληθείας γάρ, ὦ βασιλεῦ, πρὸς λύμην μεγίστην καὶ τῇ βασιλείᾳ καὶ ἡμῖν πᾶσι τὸ συγγενές σοι κατέστη, ἕκαστος γὰρ βασιλικῶς ζῆν τε καὶ εὐπορεῖν ἐθέλοντες τὸ οἰκεῖον κέρδος τοῦ κοινῇ συμφέροντος περὶ πλείονος ἄγοντες, Σοὶ μὲν χρημάτων σπάνιν καὶ τοῦ πλεονεκτεῖν ἀναγκάζεσθαι καὶ προσκρούειν Θεῷ, τῷ κοινῷ δὲ παντοδαπὰς προὐξένησαν ζημίας καὶ θλίψεις· τοῖς δὲ ἐχθροῖς τὰ ῥάστα περιγίνεσθαι συντετριμμένων ἡμῶν καὶ πάντῃ ἀπόνως ἐχόντων, ἀλλὰ ταῦτα μὲν διὰ τὴν πρόφασιν ἣν τοῦ πάντοθεν ἀπκραιτήτως χρηματίζεσθαι ὑμεῖς αἰτιᾶσθε. Εἰ δὲ καὶ τῷ ὄντι χρημάτων ἦν ἀπορία καὶ στρατιωτικὸν πρὸς ἀσφάλειαν ἀξιόχρεων ἡ βασιλεία τρέφειν οὐκ εἶχε. Πίστεως μόνον ἔδει σὺν δικαιοσύνῃ, καὶ τὰ πάντα ἂν γέγονε δυνατὰ καὶ ἀπόριστα, ἀψευδὴς γὰρ ὁ ἐπαγγειλάμενος πάντως· ἀλλὰ πάλιν ἐρῶ· οὐκ ἀπογνωστέον οὐδ' οὕτω τὴν θείαν εὐμένειαν· μόνον τὰ ἄλλα ἀφεὶς, ἀφ' ὧν οὐδαμῇ οὐδαμῶς ὠφέλησαι, ἔλπισον ἐπὶ Κύριον, καὶ ποίει χρηστότητα πᾶσαν, τῷ βασιλεῖ πρέπουσαν, καὶ ὅσην ὁ καιρὸς νῦν ἀπαιτεῖ· ἀλλὰ μὴ ἐλπίζετε ἐπ' ἀδικίαν καὶ ἐπὶ ἅρπαγμα μὴ ἐπιποθεῖτε. Πᾶσαν ἄδικον φορολογίαν καὶ πρᾶξιν ἄθεσμον, καὶ βουλὴν ἄβουλον, μακρὰ χαίρειν ἑατέον· τὰ μὲν αὐτίκα διορθωτέον κατὰ τὴν φθάσασαν ὑποθήκην, ὑπὲρ δὲ τῶν καθυποσχέσθαι Χριστῷ τῷ Θεῷ, ποίησον ἐπαγγελίαν ὅτι καὶ αὐτὸς τοῦ λοιποῦ τὰ νενομισμένα βασιλεῖ πράττων διατελέσεις· καὶ πολλὴν περὶ τὰς ἀρχαιρεσίας φυλάξεις τὴν ἀκρίβειαν, τῶν δικῶν τὰς διαιτήσεις καὶ τῶν πόλεων τὰς ἡγεμονίας καὶ τὰς ἄλλας διοικήσεις τῶν τε ἐντὸς πραγμάτων καὶ τῶν ἐκτός· ἀνδράσιν ἐπιτρέπων τοῖς χρηστοτάτοις, ἀλλ' οὐ τοῖς φαυλοτάτοις· τοῖς δικαιοτάτοις, οὐ τοῖς παρανομωτάτοις. Εἰπὲ καὶ αὐτός· Κύριε, πάντα ὅσα μοι ἠδίκηται, ὅσα ἁφήρηται παρὰ πλουσίων ἢ πενήτων ἐξ ἁφορμῶν παραλόγων χρήματα ἢ κτήματα ἱερά τε καὶ ἰδιωτικὰ ἀποκαταστήσω τοῖς ἀφαιρεθεῖσι· εἰ καὶ μὴ εἰς τὸ τετραπλοῦν, ἀλλά γε εἰς τὸ ἀντισηκοῦν αὐτοῖς τὰς ζημίας· καὶ τὰς θλίψεις, παρηγορῶν κατὰ τὸ ἐν ἐμοὶ δυνατόν, καὶ τὸ ἀπὸ σοῦ πόριμον. Ἐπάγγειλε ταῦτα δὴ ἃ καὶ ἀνάγκης δίχα βασιλεῖ φυλάττειν ἐπάναγκες, καὶ κρίμα δίκαιον κρίνειν, ἔλεον καὶ οἰκτιρμὸν ποιεῖν· χήραν καὶ ὀρφανὸν καὶ πένητα μὴ καταδυναστεύειν. Ποιεῖν πάντα μετὰ βουλῆς, τοῖς λογάσι τῶν στρατιωτῶν τε καὶ τῶν ὑπὸ τῶν ἐκκλησιαστικῶν τε καὶ τῶν ἄλλων ἀνθρώπων, εἰς μέσον προτιθεὶς τὰ σκέμματα, καὶ μάλισθ' ὅταν περὶ τῶν ἀναγκαιοτάτων τινὸς βουλεύεσθαι δεῖ· μηδὲ θαρρεῖν ἑαυτῷ, ἑνί γε ὄντι· καὶ μυρίων ἐν μέσῳ στρεφομένῳ πραγμάτων· ἀμήχανον γὰρ ἐν πᾶσι τὸ δέον εὑρίσκειν· γέγραπται δὲ ὅτι σωτηρία ἐν πολλῇ βουλῇ· πρόσθες καὶ ταῦτα

---

* Συνέχεια ἀπὸ σελίδος 352 — 358.

τοῖς ἐπαγγέλμασιν οἱ μικρὸν γάρ· ὡς ἄρα ἐμμελέστατά τε καὶ ἀκριβέστατα καὶ τῶν ἐκκλησιαστικῶν φροντίσεις πραγμάτων. Εἰ γὰρ δεῖ τ' ἀληθὲς εἰπεῖν, οὐκ ἔλαττον τῶν κοσμικῶν ταῦτα νοσεῖ· καὶ οὐχ ὑμεῖς μόνοι, ὦ βασιλεῦ, οἱ τὸ κράτος ἰθύνοντες, ἀλλὰ καὶ ἡμεῖς ἁπαξάπαντες πολλαῖς συνεζήσαμέν τε καὶ συζῶμεν παρανομίαις, καίτοι καὶ τούτων αἱ αἰτίαι Σοὶ λογίζονται παρά τε Θεῷ καὶ τοῖς ὀρθῶς κρίνουσι τῶν ἀνθρώπων· καὶ μὴ ἐξ ἐπιτάγματος πολλοὶ ἁμαρτάνομεν, ὁ γὰρ ἐφησυχάζων τοῖς κακῶς πραττομένοις κωλύειν ἐξὸν οὐκ ἔλαττον τῶν ποιούντων ἐστὶν ὑπεύθυνος· καὶ μάλισθ' ὅτι καὶ μὴ ἐπεξιών, εὐχερῆ καὶ ῥᾴδιαν τοῖς βουλομένοις παρέχει τὴν μίμησιν· ὅτι δὲ οἱ πάντες ὁμοῦ παρανομοῦμεν, οὐδὲ λόγου δεῖ πρὸς ἀπόδειξιν· αὐτὰ γὰρ τὰ πράγματα μάρτυρές εἰσιν ἀπαράγραπτοι· ἃ γὰρ οἱ τοῦ Ἰσραὴλ προεστῶτες πάλαι, διὰ προφητικῶν φωνῶν ὠνειδίζοντο, ταῦτα καὶ παρ' ἡμῖν ἔστιν ὁρᾶν ἃ καὶ πολλῷ χείρονα πλημμελούμενα. Οἱ ἄρχοντες ἡμῶν, ὡς λέοντες ὠρυόμενοι οἱ κριταὶ ἡμῶν ὡς λύκοι τῆς Ἀραβίας· ἡμεῖς οἱ μονάζειν ἐπαγγελλόμενοι καὶ τὴν σάρκα σταυροῦντες σὺν τοῖς παθήμασι καὶ ταῖς ἐπιθυμίαις, τούτοις μᾶλλον ζῶμεν ἢ τῷ Θεῷ. Οἱ ἱερεῖς βεβηλοῦμεν τὰ ἅγια καὶ ἀθετοῦμεν νόμον, καὶ θείους κανόνας καταπατοῦμεν ἀνέδην· καὶ ὁ κωλύτων ἢ μεμψόμενος οὐκ ἔστιν· ἀλλὰ συνευδοκοῦμεν ταῖς ἀλλήλων κακίαις, καὶ κακὸς ἐκεῖνος παρ' ἡμῖν, ὃς ἂν ἐπὶ τούτοις οὐ συμφρονοίη. Τούτων πάντων, ὦ βασιλεῦ, τὰ γὰρ αὐτὰ παρεγγυᾶσθαι πολλάκις ἐμοὶ μὲν ὀφείλημα, Ὑμῖν δὲ ὠφέλιμα. Τὰ μὲν αὐτίκα μεθαρμόσασθαι σπεῦσον ἐπὶ τὸ κάλλιον, ὅσα σοι δυνατόν· δυνατὸν δὲ τὰ πλείω. Τῶν δὲ καθυπόσχου τὴν διόρθωσιν εἰ καιρὸς ἐνδοθῇ, πείθων καὶ στρατιώτας ἀρκεῖσθαι τοῖς ἰδίοις ὀψωνίοις, ἀλλὰ μὴ τούτους ἀδικεῖν, οὓς κατὰ τῶν ἀδικούντων βοηθοὺς ἄγεις· οὐ γάρ ἔστιν οὐκ ἔστι στρατιώτας εὐδοκιμεῖν ἁρπαγῇ καὶ πλεονεξίᾳ μεμολυσμένους εἰς μάχην τε τὰς χεῖρας αἴροντας καὶ Θεῷ πολεμίῳ πρὸ τῶν ὑπεναντίων χρωμένους. Τοιαῦτα φέρων ὁλοκαυτώματα, τοιαύτας τὰς ὑπὲρ ἁμαρτιῶν θυσίας τῶν τε ἰδίων καὶ τοῦ λαοῦ παντός, εἴσελθε εἰς τὸ ἅγιον ἔναντι τοῦ Κυρίου· μὴ ἐν νυκτί, ἐν ἡμέρᾳ δὲ μᾶλλον. Εἰσέλθωμεν δὲ καὶ πάντες καὶ ἐξιλασώμεθα· πολλῆς δὲ χρεία τῆς προσευχῆς καὶ τῆς ταπεινοφροσύνης, καὶ ταύτης διπλῆς· τῆς μὲν τὸν ἐντὸς συντριβούσης ἄνθρωπον· τῆς δὲ ἔξωθεν ἐπιφαινομένης ὁποία ἦν ἡ τοῦ βασιλέως ἐκείνου, ὃς ἐν ἡμέραις . . . . . βαφῇ περιθέμενος πέδιλα καὶ εἰς τὸ μέγα τοῦ Θεοῦ δραμὼν τέμενος, δακρύσας τε καὶ εὐξάμενος τὴν θείαν εὐμένειαν ἐπεσπάσατο· καὶ ὅσα ἐξ ἐκείνου κατὰ Περσῶν ἀριστεύματα, ἀκούεις δήπου καὶ αὐτός, οὐδὲ τοῦ μακροῦ χρόνου λήθῃ παραδοῦναι ταῦτα ἰσχύσαντος. Ταῦτα ποιητέον, ὦ βασιλεῦ, καὶ ἐγὼ πάλιν καθίσταμαι ἐγγυητής· ἐγὼ καὶ νῦν προαγορεύω εἰ καὶ μὴ ἔκ τινος θεσπίζων θεοφορήτου κατακωχῆς· ἀλλ' ἐκ βρέφους τοῖς ἱεροῖς γράμμασιν ὁμιλῶν καὶ τῇ τούτων διανοίᾳ τὴν ἐκ τῶν πραγμάτων πεῖραν ἀκολουθοῦσαν ἔχων. Νῦν δὲ καὶ ἀρχιερεὺς ὢν τοῦ Θεοῦ, καὶ τὰ τοιαῦτα ἐγγυᾶσθαι τὸ ἀξιόπιστον ἔχων· Φημὶ τοίνυν ὡς τούτων οὕτω γενομένων παρά τε Σοῦ καὶ τῶν ἄλλων ἡμῶν, ἔσται τις μεταβολὴ κρειττων πάντως τοῖς πράγμασι· καὶ ἐλεύσονται πάλιν καιροὶ ἀναψύξεως ἀπὸ προσώπου Κυρίου· ἡμῶν δ' ἐν οἷς ἐσμὲν μενόντων, καὶ ἀμεταβλήτως ἐχόντων· γνωστὸν ἔστω σοι, βασιλεῦ, ὡς ἐγὼ οὔτε στρατεύειν ἔτι σε συμβουλεύω, οὔτε ἄλλο τι ὑπέρ τε σεαυτοῦ καὶ ἡμῶν ἢ ποιεῖν ἢ βούλεσθαι· ματαιότης γὰρ ματαιοτήτων πάντα σοι ἔσται τῶν προπεπονημένων δηλαδὴ ὡς καὶ τὰ ἑξῆς γε πονηθησόμενα· ἀλλὰ καθῆσθαι χρὴ πάντας ἐκδεχομένους τοῦ Θεοῦ τὴν μάχαιραν, ὅσον οὐκ ἤδη καὶ ἐφ' ἡμᾶς ἥξουσαν· ἢ ταύταις δὴ θαρρήσομεν ταῖς πρεσβείαις ταῖς νῦν ὑπὸ τῶν πολλῶν γινομέναις, οὓς ἀθροίζοντες οἱ πάντα ὑμῖν χαρίζεσθαι θέλοντες ἐκ τῶν ἐργαστηρίων καὶ τῶν ἐργοχείρων τοὺς πλείστους ἐπανιστάντες· ἀνθρώπους δυστήνους καὶ ταλαιπώρους, λαμπάδας ὠνεῖσθαι καταναγκάζοντες· μηδὲ τῆς πρὸς ἡμέραν τροφῆς τυχὸν εὐποροῦντας, περιϊέναι τὰς ἀγορὰς καὶ λιτανεύειν πείθουσι· καὶ μέντοι καὶ περιίασιν, οὐχ ὑπερευχόμενοι, ἀλλὰ κατευχόμενοι ἔνιοι· καὶ δακρυρροοῦντες μὲν καὶ στενάζοντες, ἀλλὰ διὰ τὴν πικρὰν πενίαν καὶ τοὺς οἰκτροτέρους τελώνας, οἳ μετὰ τὴν λιτὴν ἴσως εὐθὺς ἐπιστήσονται τὸν ἐπιτεθέντα δασμὸν ἀπραιτήτως εἰσπραξόμενοι· ἄπαγε τῶν τοιούτων πρεσβειῶν, ὦ βασιλεῦ, οὐ σβεννύειν· ἀλλὰ καὶ τοὐναντίον ἐπὶ μᾶλλον ἀνάπτειν τὴν καθ' ἡμῶν ὀργὴν δύνανται. Οἶδα μὲν πολλὰ καὶ πολλοῖς λυπηρὰ λέξας· τὸ δὲ αἴτιον, ἡ ἀνάγκη. Ἐπεί τοι ἐμοὶ τὸ παράπαν βουλομένῳ οὐκ ἦν τοιαῦτα λέγειν· ὁ Θεὸς οἶδεν· ὥσπερ οὐδὲ λόγων τοιούτων ἀφορμὰς ἔχειν· καὶ γὰρ καὶ αὐτὸς διὰ τὴν αὐτὴν πάντως ἀνάγκην, ἡμᾶς συγκέκληκας σήμερον, τὴν ἑκάστου περὶ τῶν παρόντων μαθησόμενος γνώμην. Χριστὸς δέ, καὶ γὰρ καλὸν λοιπὸν εὐχὴ χρήσασθαι, ὁ πατὴρ τῶν Οἰκτιρμῶν καὶ τῆς Εἰρήνης ἄρχων· ὁ καὶ τὸ θέλειν τὰ ἀγαθά· καὶ τὸ ἐνεργεῖν ἐνεργῶν ἐν πᾶσιν, αὐτὸς συνετίσας καὶ συμβιβάσας ὑμᾶς εἰς τὰ τὴν ὁδὸν ἣν ὁ λόγος ὑπέθετο, πορευθῆναι· καὶ ὅσα δὴ ὅδε παρῆκε. Δώη ὑμῖν γνῶναι καὶ ποιεῖν πάντα. Καὶ ἐπακοῦσαι Σοῦ τε καὶ ἡμῶν ἐν τῇ ἡμέρᾳ ταύτῃ τῆς θλίψεως· καὶ Σοί μέν, τὴν βασιλείαν· ἡμῖν δὲ τὴν ζωὴν Εἰρηναίαν καὶ Εὐσταθῆ χαρίσαιτο· θραύσας ἅπαντας καὶ εἰς τέλος καθελὼν τοὺς ἐχθρούς· καὶ τῆς ἑτέρας δέ, μὴ ἀπαξιῶσαι ζωῆς, τῆς νῦν συνεχῶς κρυπτομένης, καὶ ὕστερον αὐτῷ φανερωθησομένης τῷ Κυρίῳ ἡμῶν. Ὧ ἡ δόξα καὶ τὸ κράτος νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Τοῦ αὐτοῦ

Συμβουλὴ πρὸς τοὺς Βασιλεῖς.

1. Τοῦ Μενοικέως. Ὁ λόγος ἐγράφη ἐν τῇ ἐπὶ τοῦ ὄρους τούτου Μονῇ τοῦ Τιμίου Προδρόμου, ἐν ᾗ ὁ πατριάρχης Γεννάδιος ὁ Σχολάριος ἀποχωρήσας τῆς πατριαρχείας ἐφησύχαζε.

δὲ εὑρηκὼς καὶ τῷ φθείροντι μᾶλλον προστεθειμένους. Τῶν τοιούτων τοίνυν ἀγωνισμάτων ἀνυομένων αὐτῷ, παντὸς ἀριθμοῦ καὶ πάσης εὐφημίας ὄντων ἐπέκεινα, ἔδει καὶ στεφανοῦσθαι λοιπόν, πέρας ἐπιθέντα τοῦ βίου τοιαύτῃ πρέπον τιμῇ. Ἔδει μὲν οὖν φθάνειν τὸν τοῦ Ἰησοῦ θάνατον καὶ πρῶτον θνήσκειν αὐτόν, ὡς ἂν μὴ μόνον εἰς τὸν βίον ἰὼν πρόδρομος τῆς κοινῆς σωτηρίας εἴη τοῖς ζῶσιν, ἀλλὰ καὶ τοῖς ὑπὸ γῆν μέλλουσι σώζεσθαι καὶ τοῦ τῆς οἰκονομίας ἀπολαύειν καρποῦ πρόδρομος αὐτὸς ἥκοι καὶ πανταχόθεν πρόδρομος εἴη. Καὶ τάξιν σώζων ἀγγέλων τῶν ταῖς θείαις ὑπουργούντων οἰκονομίαις τῇ κατ' ἀγγέλους ἐν τῇ σαρκὶ ζωῇ καλῶς ἀποδιδομένην, ἔδει καὶ τὴν πρὸς τὸν δεσπότην ἀγάπην ἀκραιφνεστάτην, ὡς εἶχεν, ἐπιδεδειγμένον μηδὲ τῶν μαθητῶν οὐδενὶ λοιπὸν τῶν πρώτων παραχωρεῖν, πρῶτον αὐτὸν τὴν ψυχὴν ὑπὲρ τοῦ φιλουμένου τεθεικότα δεσπότου· καὶ πρὶν ἐναργεστάτην λαβεῖν τὴν τῆς θεότητος ἀπόδειξιν ἐν Χριστῷ, ὡς ὀψὲ κατῆλθεν ἐκείνοις, ἔδει τὸν τοῦ Χριστοῦ βαπτιστὴν καὶ τοῖς Χριστοῦ συμμορφωθῆναι παθήμασι· καὶ καθάπερ ἐκεῖνος ἑκὼν ὑπῆει τὸν θάνατον, οὕτω καὶ τοῦτον μισθὸν τῆς ὑπὲρ τῶν νόμων συνηγορίας τὴν τοιαύτην ἀπολαβεῖν τελευτήν, οὐ σταυρούμενον, καθάπερ ἐκεῖνος ἔμελλεν, οὐ χλευαζόμενον, οὐ πλευρὰν ὀρυττόμενον, τούτων γὰρ καὶ τοιούτων τῷ τῆς οἰκονομίας ἔδει σκοπῷ καὶ τῷ ἔργῳ, διὸ καὶ πόρρωθεν ὡδὶ προηγόρευτο, ἀλλ' ἐν τῇ κεφαλῇ τὸ ἄλγος ὑφιστάμενον μόνῃ, ἣ συνήλγει μέν, τὸ μέλλον εἰδὼς ἀποκαλυφθέν, ἄλλον δὲ συνέχαιρε τρόπον, τὸ ἐντεῦθεν τῆς οἰκουμένης λογιζόμενος κέρδος. Τοῦτο τοίνυν οὕτω δεῆσαν οὕτω καὶ γίνεται, καὶ ταῦτα τῆς ἡμέρας εἰσὶ ταύτης ὑπόθεσις καὶ τῶν ἐπ' αὐτῇ τελουμένων καὶ λεγομένων. Πρόφασις μὲν οὖν οὐ μᾶλλον τῆς ποινῆς ἢ τῶν στεφάνων ἡ πόρρωθεν τῆς Ἡρωδιάδος ἀπέχθεια καὶ τὸ τῇ τραπέζῃ τότε συναχθέν· ἡ δ' ἀληθὴς αἰτία τῶν καλῶν τοῦ νόμου φυλάκων αἱ συσκευαί, οἳ τὸν μὲν Ἰησοῦν ἔκτεινον ὡς ἐξιόντα τῶν νόμων, οἷς τὸ σάββατον ἐδόκει λύειν, οὐ λύων, Ἡρῴδῃ δὲ συνεχώρουν ἀνηκέστως παρανομεῖν. Οὐ γὰρ ἠνείχοντο τὸν Ἰωάννην, περιαγγέλλοντα τὸν Ἰησοῦν πανταχοῦ μετὰ τὴν οὐράνιον ἐκείνην πληροφορίαν καὶ λαμπράν, ὡς ἐχρῆν αὐτῷ, τὴν φήμην ἐγείροντα, ζῆν τε καὶ παρὰ Ἡρῴδῃ τηλικαύτης ἀπολαύειν αἰδοῦς, δεδιότες μὴ καὶ πλῆθος Ἰουδαίων ἅπαν τῷ Ἡρῴδῃ συνεπισπάσηται, ὅπερ αὐτοὺς δεδιέναι καὶ λίαν εὔλογον ἦν. Ἐώρων γὰρ αὐτῷ τὸν Ἡρῴδην πάνυ προσέχοντα καὶ ἡδέως αὐτῷ συνόντα καὶ ἡδέως ἀκούοντα καὶ πειθόμενον ἐν πολλοῖς· ἤδει γὰρ αὐτὸν ἅγιον ἄνδρα καὶ δίκαιον, καὶ ὡς τοιούτῳ πάνυ προσεῖχεν. Αὐτοὶ μὲν οὖν ἐθώπευον τὸν Ἡρῴδην, οἱ καλοὶ τοῦ νόμου προστάται, καὶ τὸ τῆς παρανομίας ἄγος οὐκ ἀφῄρουν αὐτοῦ καὶ πάνυ δυνάμενοι, συγκρούειν οὕτω βουλόμενοι πρὸς Ἰωάννην ἀποτρέποντα καὶ τὴν εὔνοιαν λύειν. Ἢ πῶς εἴων τοῖς γενεθλίοις ἐπιθύειν αὐτὸν καὶ συνδείπνους ἔχειν τοσούτους; πῶς οὐκ εἶργον τῶν ἱερῶν, ἵνα καὶ πρόφασιν ἔχῃ τῇ μοιχαλίδι τὸ μὴ μόνον Ἰωάννῃ τῷ φιλουμένῳ ταῦθ' οὕτω δοκεῖν, μηδ' αὐτὸν μόνον εἴργειν, ἀλλὰ πολλῷ μᾶλλον τοὺς ἄλλους, οὓς οὐκ ἂν εἴη δίκαιον παραγράφεσθαι. Ἀλλὰ σιγώντων ἐκείνων καὶ τῆς παρανομίας ἀνεχομένων, ὅτι τῷ δικαίῳ καὶ σοφῷ συνηγόρῳ τῶν νόμων ἐνήδρευον, τῷ μηδ' ἀνάγκην ἔχοντι τῶν νόμων ὑπερμαχεῖν, ἥπερ ἐκεῖνοι, ὑπὸ δὲ εὐνοίας κινουμένου θεοφιλοῦς καὶ τὰς ψυχὰς τῶν πλησιαζόντων [σώζειν] ἐθέλοντι, ὁ μὲν Ἡρῴδης καὶ οὕτως ἐδόκει φέρειν τὸν Ἰωάννην πατρικῶς συμβουλεύοντα καὶ τὴν τοῦ ἀνδρὸς ἀρετὴν τοῦ τῆς ἀκολασίας πάθους προῆγε μέχρι πολλοῦ, καὶ τῆς πρὸς τὴν κοινωνὸν τοῦ πάθους εὐνοίας, οὐκ ἀπειθεῖν μόνον ἀλλὰ κτείνειν βιαζομένην. Σφοδρότερον δὲ ἐπιτιθεμένης εἶργε μὲν τὸν δίκαιον, αὐτῷ χαριζόμενος, οὐκ ἔκτεινε δέ, οὐδ' ἂν εἶχε κτείνειν, εἰ μὴ τὰ μετὰ ταῦτα πάντα συνέτρεχεν, ἡμέρας εὐκαίρου ἔνθεν μὲν [τῷ] τοῦ δικαίου στεφάνῳ, ἔνθεν δὲ τῷ τῶν παρανομούντων ὀλέθρῳ συνενεχθείσης, ὡς ἂν αὐτοὶ μετὰ τῆς ἀκολάστου παρανομίας καὶ τῷ φόνῳ τοῦ σώζειν θέλοντος καὶ καθαίρειν ἔνοχοι γένωνται. Καὶ ἠδύνατο μὲν ὁ Θεὸς τὸ δρᾶμα λύειν ἅπαν εὐθύς, ὥσπερ καὶ λεγεῶνας ἀγγέλων πέμπειν, εἴπερ ἐβούλετο, καὶ τὴν πόλιν ἅπασαν ἀνατρέπειν, ὁ καὶ τὸν ἥλιον κατὰ τοῦ μηδένα βλέπειν, παραδόξως ἐπ' αὐτὸν τῆς σελήνης μεθισταμένης, ἐκλείπειν πεποιηκὼς καὶ τὴν οἰκουμένην πᾶσαν σκοτίζεσθαι· ἀλλ' ὥσπερ ἐκεῖνο τὸ δρᾶμα οὕτω τε ἐγέγραπτο καὶ οὕτως ἔδει γενέσθαι, οὕτω καὶ τὸ κατὰ τὸν Ἰωάννην ὡρισμένον πόρρωθεν ἦν καὶ μιᾷ μεθόδῳ. Τῷ μὲν προφήτῃ τὰ τῆς ἀρετῆς ἆθλα, Ἡρῴδῃ δὲ τὴν τῇ πονηρίᾳ πρέπουσαν ὁ Θεὸς δίκην εἰργάζετο, οὔτε τοῦτον πρὸς τὴν εὐσέβειαν οὔτ' ἐκεῖνον πρὸς τὴν ἐναντίαν βιαζόμενος γνώμην, ἀλλ' ἑκατέρῳ τὰ οἰκεῖα τῇ γνώμῃ καὶ οἷς αὐτοὶ προείλοντο ψηφιζόμενος. Οὐδὲ γὰρ Ἰούδας ἔμελλεν ἔχειν ἀπολογίαν τὸ δεῖν τὸν Χριστὸν ἐκεῖνα παθεῖν, οὐδ' ἐπὶ σωτηρίᾳ τῶν ἀνθρώπων, οἷος ἦν τῷ δεσπότῃ μόνῳ σκοπός, ἀλλὰ

πονηρίᾳ καὶ φθόνῳ καὶ δόξης ἔρωτι καὶ χρημάτων τὸν διδάσκαλον παρεδίδου, καὶ τῷ ἄρτῳ συνεισιόντα τὸν Σατανᾶν ὑπεδέχετο, οὐ τότε πρῶτον εἰσιέναι πειρώμενον, ἀλλὰ βεβαίως τότε πρῶτον εἰσοικισθέντα, ὁ τοῖς ἀναξίως μετεσχηκόσι τῶν θείων ἅπασι γίνεται, ἀντὶ τοῦ χάριν λαβεῖν καὶ εἴ τις ἐνῆν αὐτοῖς ἀποβεβληκόσιν. Οὕτω κἀνταῦθα τὸ δεῖν στεφανωθῆναι μαρτυρίῳ τὸν Ἰωάννην οὐχ ὑφαιρεῖ τῆς δίκης τῷ κτείναντι. Συντρέχει τοίνυν εὐκαίρως πάντα, δι' ὧν ἀνυσθείη τὸ μέλλον, καὶ ὁ μὲν ἡμέτερος Ἰησοῦς τῆς μεγάλης ἑορτῆς τοῦ Πάσχα πάρεργον ἔμελλε τοῖς φοιτηταῖς γίνεσθαι· οὐ γὰρ Πιλάτος ἦν ὁ φονεύων, ὃς καὶ πολλάκις ἤθελεν ἀθωοῦν καὶ τῶν ἀλιτηρίων μὴ πειθομένων τὰς χεῖρας ἔνιπτεν ὕδατι· καὶ ὁ δεσπότης ἡμῶν μεῖζον ἡμαρτηκέναι τοὺς παραδιδόντας εἶπεν αὐτῷ· ὁ μὲν γὰρ ἀλλόθρους ἦν καὶ θρησκείαις ἄλλαις ἐδούλευεν, οἱ δὲ — ἰουδαῖοι καὶ θιασῶται Μωσέως, καὶ μαθητὴς ὁ τὴν ἀρχὴν σκευάσας τοῦ δράματος, λέγων, τί μοι θέλετε δοῦναι, κἀγὼ ὑμῖν παραδώσω αὐτόν, ἴσως, εἰ μὴ τῇδε κατώρθουν καὶ εἴπερ εἶχε διδόναι, κἂν ἄλλως εἰπών, τί θέλετε δώσω ὑμῖν καὶ παραδώσετέ μοι αὐτόν. Οὕτω κἀνταῦθα, γενέθλης ἑορταζομένης καὶ τῆς ἐπὶ ταύτῃ τραπέζης, ὁ προφήτης πάρεργον ἦν, καὶ καθάπερ ὁ μαθητὴς τῶν ἐν τῷ δείπνῳ μυστικῶν γενομένων κατεξοργούμενος τὸν τροφέα καὶ καθηγητὴν προεδίδου, οὕτω δὴ καὶ Ἡρωδιὰς τῇ τῆς παιδὸς ὀρχήσει τὸν τοῦ προφήτου συνεσκεύαζε φόνον· καὶ ὁ μὲν ἀργυρίου τριάκοντα τὴν προδοσίαν, ἡ δὲ τῆς χρυσῆς τοῦ προφήτου κεφαλῆς τῆς παιδὸς ἐτίμα τὴν ὄρχησιν. Καὶ εἰ βαπτιστής ἐστιν Ἰωάννης, τί κτείνειν τολμᾷς, ὦ γύναι, τὸν βαπτιστήν; Καὶ εἰ τῷ τῆς βασιλείας ἡμίσει προτεινομένῳ τὴν κεφαλὴν ἀντισταθμίζουσα προτιμᾷς, τί ῥᾳδίως οὕτως ἀφαιρεῖ καὶ νεκρὰν ἀποφαίνεις τὴν θηταυρῶν τοσούτων ἀξίαν; Ἦν ὅτε, φησίν, ἐν ἐπαίνου πάντες ἐποιοῦντο τὸν βαπτιστὴν καὶ τὸ βάπτισμα, καὶ πολλοῦ τοῖς πᾶσιν ἐδόκει· ἐξ ὅτου δὲ τὸν Ἰησοῦν βαπτίσας, ὑποφητεύειν αὐτῷ καὶ συνηγορεῖν αὐτῷ ἠθέλησε προφανῶς, τῶν αὐτῶν καὶ ἄμφω τιμῶνται ποινῶν, οἱ τῶν παρ' ἡμῖν ἐθῶν καὶ νόμων προστάται, καὶ ταῖς αὐταῖς ὑπάγειν ἔγνωσαν δίκαις. Ἐμοὶ δὲ καὶ τῶν τοῦ νόμου διδασκάλων οὐδεὶς τηλικοῦτον ὄγλον παρέσχεν, οὔτε τὸν ἀδελφὸν Φιλίππου τοῦ πρὸς ἐμὲ συνδέσμου λύειν ἐσπούδασεν. Οὔκουν οὐδὲ τῆς ἀξίας τὴν κεφαλὴν ἀνταλλάτομαι, ἀλλὰ πάθους, ὅ με εἶχεν, ἰσχυροτάτου, καὶ ὡς δούλην ἕλκει τὴν βασιλίδα πάνυ δεινῶς. Καλῶς ἄρα τοῖς ἐν ὑποκρίσει τοῦ τὸν νόμον τηρεῖν παραβαίνουσιν ὁ δεσπότης ἡμῶν ἐπετίμα, ὅτι τοὺς κώνωπας διϋλίζοντες τὰς τῶν ἰδιωτῶν καμήλους κατέπινον καὶ πολλῷ μείζους τὰς ἑαυτῶν, ὡς ἐν πλείονί τε γνώσει πταιόντων καὶ συγχωρούντων τοῖς ἄλλοις ἃ κωλύειν ἐξῆν, ὅτε τῆς τοῦ νόμου δεκάτης μέχρι καὶ τῶν ἐλαχίστων ὑπερδικοῦντες καρπῶν, ποιναῖς ὑπερβαινούσαις τῶν ἁμαρτημάτων τὸ μέτρον τὰς τῶν πενήτων καὶ ὀρφανῶν καὶ χηρῶν οἰκίας ἐγύμνουν καὶ πολεμίοις τρόποις ἐσκύλευον. Ὦ σοφοὶ τῆς κατὰ τὸν νόμον ἀκριβείας ὑπέρδικοι, τοῦ μὲν Χριστοῦ καταβοᾶτε τῆς ἐν σαββάτῳ λύσιν ἀργίας, ὅτι λεπρὸν ἐκάθηρε καὶ τυφλὸν ὠμμάτωσεν ἐν σαββάτῳ, καὶ κλινοπετεῖ χρονίῳ καὶ παρειμένῳ ἐνῆκε δύναμιν, Ἡρώδου δὲ ἀνέχεσθαι κολακεύοντες, πανδεινῶς οὕτω παρανομοῦντος καὶ ψυχικῶς ἑαυτῷ τὴν ἐρωμένην συναποκτείνοντος, πότερον συγχωροῦντες νόμῳ γάμῳ συνεῖναι ἢ παρακούοντος ἡμῶν οὐκ ἀγαναντοῦντες οὐδ' εἴργοντες τῆς τῶν καθαρῶν κοινωνίας, ἀλλὰ καὶ συνεστιώμενοι καὶ τραπέζης καὶ ἁλῶν κοινωνοῦντες. Λύσις, ὦ πένητες, τοῦ περὶ τὸ σάββατον νόμου ἡ τῶν κακῶς ἐχόντων ἀνάκτησις; Οὐχὶ καὶ Μωσῆς ὁ τὴν ἐν σαββάτῳ νομοθετήσας ἀργίαν παρέλυεν ἂν οὕτως ἐπιεικευόμενος; ὑπὸ γὰρ τοιαύτῃ γνώμῃ τὸν νόμον ἐτίθει, οὐδ' ἀντὶ φιλοθέων ἀπανθρώπους ἐσκόπει ποιεῖ· ἡ Μωσῆς οὐκ ἂν ἦν οὐδὲ θεῖος, εἰ δὲ μὴ προσετίθει 'πλὴν εἰ μή τις δύναιτο τυφλὸν ὀμματοῦν καὶ τὰ τοιαῦτα τοὺς δεομένους εὐεργετεῖν'. Τοῦτο καὶ πάντες νομοθέται ποιοῦσιν, ἀφιέντες τοῖς ὀρθῶς δικάζειν ἐθέλουσι καὶ εἰδόσι ἐφαρμόζειν τοῖς νόμοις, ἃς οὐκ ἂν ἠδύναντο πολλὰς καὶ ἀπείρους οὔσας οὔτε συναθροίζειν καλῶς οὔτ' ἐνσημειοῦσθαι τοῖς γράμμασιν.

(ἕπεται συνέχεια).

ΣΥΛΒΟΛΑΙ
ΕΙΣ ΤΗΝ ΙΣΤΟΡΙΑΝ ΤΩΝ ΜΗΝΑΙΩΝ*

Δ'.

Πολλοὶ τῶν ἐν τοῖς ἐντύποις Μηναίοις ἀσματικῶν κανόνων εἶχον ἐξ ἀρχῆς συνταχθῇ μετὰ δευτέρας ᾠδῆς, ἥτις διὰ λόγους εἰσέτι μὴ γνωστοὺς ἀκριβῶς, εἶχεν ἀρχίσῃ νὰ ἀποβάλληται εἰς χρόνους σφόδρα μεταγενεστέρους τοῦ

* Συνέχεια ἀπὸ σελ. 337—343.

δεκάτου αἰῶνος. Ἡ ἐκ λογοτεχνικῆς ἐπόψεως παράλογος αὕτη ἀποβολὴ συνετέλεσεν εἰς τὸ νὰ καταστραφῶσιν ἀναρίθμητοι ὕμνοι διαφόρων ἱερῶν ὑμνογράφων τοῦ ὀγδόου καὶ τοῦ ἐνάτου ἴσως δὲ καὶ αὐτοῦ τοῦ δεκάτου αἰῶνος· καὶ τοσοῦτον εἶναι σπάνιαι σήμερον ἐν τοῖς κώδιξιν αἱ δεύτεραι τῶν πανηγυρικῶν κανόνων ᾠδαί, ὥστε μιᾶς ἑκάστης αὐτῶν ἡ ἀνεύρεσις εἶναι λογοτεχνικῶς ἀξία μεγάλης τιμῆς· τοιαύτης ᾠδῆς ἡ ἀνεύρεσις, ᾠδῆς ἀνηκούσης δηλαδὴ εἰς ἕνα τινὰ τῶν ἐντύπων κανόνων, συμπληροῖ τοῦτον οὕτως, ὥστε τοῦ λοιποῦ νὰ θεωρῆται τελειότατος. Ἡμεῖς ἄλλοτε περὶ τῆς 2-ας ἐν τοῖς πανηγυρικοῖς κανόσι πραγματευθέντες ᾠδῆς ἠδυνήθημεν τούτων τινὰς νὰ συμπληρώσωμεν, εὑρόντες τὰς δευτέρας αὐτῶν ᾠδὰς ἔν τισι παλαιοτάτοις τῶν Μηναίων ἀντιγράφοις[1]· ἑπτὰ δὲ παρελθόντων ἔκτοτε ἐτῶν εὕρομεν μόνην τὴν 2-αν ᾠδὴν τοῦ κανόνος τῆς 22-ας ἀπριλίου, ὅστις ἐξυμνεῖ τὸν ὅσιον Θεόδωρον τὸν Συκεώτην. Ὁ κανὼν οὗτος, οὗ ποιητὴς εἶναι ὁ ὑμνογράφος Ἰωσήφ, δέον νὰ ἔχῃ, κατὰ τὸ Μηναῖον τὸ ἔντυπον, τὴν ἑπομένην ἀκροστιχίδα. «Θεῖόν σε δῶρον παμμάκαρ μέλπω πάτερ Ἰωσήφ»· ἀλλὰ τῆς ἀκροστιχίδος ταύτης ἐλλείπουσι τῷ Μηναίῳ σήμερον τέσσαρα στοιχεῖα, τὰ μετὰ τὰ πρῶτα ἰσάριθμα, ἅτινα ἔχουσιν οὕτω· ΝΣΕΔ. Ταῦτα ἀπετέλουν τὴν 2-αν ᾠδήν, καὶ ἐπειδὴ ταύτην εὕρομεν ἐν ἀντιγράφῳ Μηναίων τοῦ 14-ου αἰῶνος, δύναται ἐντεῦθεν νὰ σχηματίσῃ τις γνώμην, ὅτι τῶν πανηγυρικῶν κανόνων ἡ 2-α ᾠδὴ καὶ τότε ἦτο συνήθης· βεβαίως δὲ οὐχὶ κοινῶς συνήθης, διότι ἐν τῷ ἀντιγράφῳ ἐκείνῳ ὑπάρχουσι καὶ κανόνες, ὧν ἡ δευτέρα ᾠδὴ ἐλλείπει αὐτῷ φανερῶς. Ὑπάρχουσιν ἐν αὐτῷ καὶ κανόνες μετὰ 2-ας ᾠδῆς τῶν ὑμνογράφων Θεοφάνους καὶ Ἰωσήφ, ἐξυμνοῦντες τὸν Πύδνης Ἀλέξανδρον (14 μαρτίου) καὶ τὸν ὅσιον Θεόδωρον τὸν Τριχινᾶν (20 ἀπριλίου), οἵτινες οὐδόλως ἐν τοῖς ἐντύποις εὑρίσκονται Μηναίοις. Τὸ ἀντίγραφον τοῦτο εὑρίσκεται ὑπ' ἀριθ. 552-ον ἐν τῇ Αὐτοκρ. Δημ. Βιβλιοθήκῃ τῆς Πετρουπόλεως, μεταξὺ δὲ τῶν φύλλων αὐτοῦ 73β—75α κεῖται ἡ τῆς 22-ας ἀπριλίου ἀκολουθία, ἐξ ἧς ἡμεῖς εἰς συμπλήρωσιν τοῦ τετυπωμένου κανόνος ἀντεγράψαμεν τὴν ὧδε παρατεθειμένην ἀνέκδοτον αὐτοῦ 2-αν ᾠδήν.

1. Ὅρα τὸ ἡμέτερον «Σχεδίασμα περὶ τῶν λειτουργικῶν Μηναίων». Ἐν Πετρουπόλει 1894, σ. 8,12 καὶ 26--48.

Ὠδὴ β΄.

»Ἴδετε, ἴδετε*, ὅτι ἐγώ εἰμι ὁ Θεὸς ὑμῶν,
» ὁ θανατῶν καὶ ζωογονῶν,
» ὁ δωρησάμενος ὕδωρ* ἐκ πέτρας ἀκροτόμου
» καὶ ἐπομβρήσας τὸ μάννα εἰς βρῶσιν
» τῷ λαῷ[1] τοῦ Ἰσραήλ, ὡς δυνατόν.

Νέκρωσιν, ὅσιε,* ἐπιποθήσας ζωτικὴν
ἐκ μητρικῶν, πάτερ, ἀγκαλῶν,
σοῦ τὸν σταυρὸν ἐπὶ ὤμων* ἐβάστασας
[καὶ χαίρων
τῷ διὰ σὲ νεκρωθέντι προθύμως
ἠκολούθησας, Θεόδωρε σοφέ.
Σάρκα καθήλωσας,* πάτερ τῷ φόβῳ τοῦ θεοῦ,
καὶ προσευχῶν τῇ ἐπιμονῇ
καὶ τῇ πολλῇ ἐγκρατείᾳ* καὶ ψύχους καρ-
[τερίᾳ
καὶ βαρυτάτου σιδήρου φορτίοις
καὶ τοῦ πνεύματος ἐδέξω τὰς αὐγάς.
Ἔχρισε Κύριος* ἀρχιερέα σε λαοῦ
τοῦ ἐκλεκτοῦ, πάτερ, εὐκλεῶς·
τῶν πονηρῶν καθαιρέτην* ἐποίησεν πνευ-
[μάτων,
θεραπευτήν τε ψυχῶν ἐφθαρμένων
καὶ φωστῆρα ἀπλανῆ τῶν ἐπὶ γῆς.

Θεοτοκίον.

Δέσποινα ἄχραντε,* ἡ τῶν πιστῶν καταφυγή,
ἁμαρτωλῶν πάντων ἡ ἐλπίς,
ἡ ἀγεώργητος χώρα,* ἡ ἔμψυχος νεφέλη,
τετυρωμένον τὸ ὄρος καὶ πῖον,
τοὺς ὑμνοῦντάς σε περίσωζε φθορᾶς.

Καὶ οὕτως μὲν ἔχει τὸ κείμενον τῆς ἐλλειπούσης ταύτης τῷ κανονι τοῦ Ἰωσὴφ 2ας ᾠδῆς· ἀλλ' ὁ αὐτὸς ὑμνογράφος Ἰωσὴφ ἔχει συνθέσῃ καὶ δεύτερον εἰς τὸν ὅσιον Θεόδωρον κανόνα, εἰσέτι τύποις ἀνέκδοτον, περιεχόμενον ἔν τινι μηναίῳ τῆς 11ης ἑκατονταετηρίδος· οὗτος δὲ ὁ κανὼν τελειότατος ὢν ἐποιήθη ἐξ ἀρχῆς ἄνευ ᾠδῆς δευτέρας. Ἐντεῦθεν ἔπεται νὰ σημειωθῇ, ὅτι ὁ ὅσιος Θεόδωρος ὁ Συκεώτης ἑωρτάζετο τὸ πάλαι μεγαλοπρεπῶς ἐν Κωνσταντινουπόλει· τοῦθ' ὅπερ εἶναι βεβαιότατον καὶ ἐκ τῶν λειψάνων δύο ἑτέρων πολυστρόφων ὕμνων, συνισταμένων ἐκ κονδακίων καὶ τῶν σὺν αὐτοῖς οἴκων[1]. Ἀλλὰ πῶς

1. Ἐν τῷ κώδικι· «τὸν λαόν».

1. Ἡ σύναξις τοῦ ὁσίου Θεοδώρου ἐτελεῖτο ἐν τῷ ναῷ τοῦ μεγαλομάρτυρος Γεωργίου τῷ ἐν τῷ Δευτέρῳ· ἐκεῖ εὑρίσκετο καὶ ἀργυρᾶ θήκη μετὰ τοῦ ἱεροῦ αὐτοῦ σώματος.

συμβαίνει εἷς καὶ ὁ αὐτὸς ποιητὴς νὰ ἐγκωμιάσῃ τὸν ὅσιον Θεόδωρον μὲ διττοὺς κανόνας, καὶ τούτων τὸν ἕνα μετὰ 2-ας νὰ τροπαρολογήσῃ ᾠδῆς, τὸν δ' ἕτερον ἄνευ τοιαύτης, καὶ πάλιν ἀμφοτέρους νὰ καθορίσῃ διὰ τὴν ἑορτὴν τῆς 22-ας ἀπριλίου; Πρὸ ὁμοίας ἐρωτήσεως παρέστημεν καὶ ἄλλοτε, ὅτε τὸ πρῶτον ἐξητάσαμεν τὰ κατὰ τὴν ἱστορίαν τῆς 2-ας ᾠδῆς ἐν τῷ ἡμετέρῳ περὶ τῶν λειτουργικῶν Μηναίων σχεδιάσματι. Τότε δὲν ἠδυνήθημεν νὰ δώσωμεν ἀπόκρισιν ἱκανοποιητικὴν εἰς τὴν ἐρώτησιν ἐκείνην, ἀρκεσθέντες εἰς τὸ φανερὸν ἀποτέλεσμα τοῦ γνωσθέντος ἡμῖν ἄχρι τοῦ καιροῦ ἐκείνου ὑμνογραφικοῦ ὑλικοῦ, τουτέστιν ὅτι οἱ μετὰ 2-ας ᾠδῆς πανηγυρικοὶ κανόνες φαίνεται νὰ ἐψάλλοντο πρὸ τοῦ ὄρθρου ἐν τῷ ἑσπερινῷ τῆς παραμονῆς ἑορτῆς τινος, ἢ μᾶλλον ἐν τοῖς ἀποδείπνοις, ἅτινα συνδέονται τῇ ἀκολουθίᾳ τῆς ἀγρυπνίας. Τοῦτο, ἂν οὕτως ἀληθῶς ἔχῃ, δὲν εἶναι παράλογον, διότι ὁ ὄρθρος, καθ' ὃν συνήθως οἱ τῶν ἁγίων ψάλλονται κανόνες, εἶναι καθιερωμένοι εἰς δοξολογίαν τῆς ἁγίας Τριάδος, καὶ ἀξίωμα τοῦ κοινοῦ τῶν Ἐκκλησιῶν τυπικοῦ εἶναι τότε νὰ μὴ στιχολογῆται ἡ 2-α ᾠδή, εἰ μὴ ἐν μόνῃ τῇ Μεγάλῃ Τεσσαρακοστῇ. Οἱ πρῶτοι κανόνων ποιηταί, εἴτε κανόνας εἰς δεσποτικὰς ἐποίουν ἑορτάς, εἴτε κανόνας ἁπλῶς τριαδικούς, ἐκ λόγων ὁρμηθέντες συμβολικῶν ἀπεφάσισαν ἡ δευτέρα τῶν ᾠδῶν νὰ μένῃ ἐν τοῖς πρὸς τὴν θεότητα ἀναφερομένοις ᾀσματικοῖς κανόσι παντελῶς ἀτροπαρολόγητος· καὶ διὰ τοῦτο συντάσσοντες καὶ μελίζοντες τοιούτους κανόνας εὐθὺς ἀπὸ τῆς πρώτης μετεπήδων εἰς τὴν σύνταξιν καὶ τὸν μελισμὸν τῆς 3-ης ᾠδῆς. Ἡ δὲ κυρία τῆς μεταπηδήσεως ταύτης αἰτία κατ' αὐτοὺς εἶναι, ὅτι τῆς Γραφῆς ἡ 2-α ᾠδὴ παριστᾷ θείαν ὀργὴν τῇ ἀνυποτάκτῳ ἐκ παρακοῆς ἀνθρωπότητι πρὸς τὰ θεῖα ἐντάλματα καὶ πάλιν προτροπὴν εἰς μετάνοιαν. Τοῦ ὄρθρου λοιπὸν ὄντος ἀφιερωμένου κυρίως εἰς δοξολογίαν τοῦ εὐεργετοῦντος τὴν ἀνθρωπότητα Θεοῦ διὰ τοῦ ἀνεξαντλήτου αὐτοῦ ἐλέους, φυσικὴ συνέπεια ἦτο καὶ οἱ εἰς τοὺς ἁγίους κανόνες, δι' ὧν ὡσαύτως ἡ θεότης δοξάζεται,—ἂν οὗτοι μέρος ἐπρόκειτο ν ἀποτελέσωσι τῆς ἀκολουθίας τοῦ ὄρθρου, νὰ συντάσσωνται καὶ μελίζωνται ἄνευ ᾠδῆς δευτέρας. Ὅσοι λοιπὸν κανόνες εὑρίσκονται πανηχυρικοὶ μετὰ 2-ας ᾠδῆς, φαίνεται νὰ ἐψάλλοντο πρὸ τοῦ ὄρθρου, λόγου χάριν ἐν τοῖς ἀποδείπνοις τῶν παραμονῶν, ἄλλως εἰπεῖν ἐν τῷ ἑσπερινῷ καὶ τῇ ἀγρυπνίᾳ, ἥτις ὤφειλε νὰ συνδέηται μὲ τὴν ὅλην ἀκολουθίαν μιᾶς μεγάλης πανηγύρεως. Καὶ εἶναι σημειώσεως ἄξιον τὸ φαινόμενον ἐν τοῖς παλαιοτάτοις τῶν Μηναίων ἀντιγράφοις, ὅτι δι' ἕνα καὶ τὸν αὐτὸν ἅγιον εὑρίσκονται ἐν αὐτοῖς ἐνίοτε διττοὶ κανόνες, ὁ μὲν μετ' ᾠδῆς δευτέρας, ὁ δ' ἄνευ τοιαύτης, συντεθειμένοι καὶ οἱ δύο ἢ ὑπὸ ἑνὸς καὶ τοῦ αὐτοῦ ποιητοῦ, ἢ ὑπὸ δύο διαφόρων ὑμνογράφων· τοῦτο δὲ καθ' ἡμᾶς φαίνεται ἁπλῶς ἀποδεικνύον, ὅτι τοῦ ἁγίου ἐκείνου ἡ μνήμη ἔν τινι τόπῳ, μονῇ, ἢ ναῷ, συμφέρον ὑπῆρχε νὰ τελῆται μετ' ἀγρυπνίας. Ἡ μονὴ ἢ ὁ ναὸς ἐκεῖνος θὰ εἶχεν ἐξάπαντος ἢ ὅλον τὸ λείψανον τοῦ ἁγίου, ἢ μέρος αὐτοῦ· ἂν δὲ καὶ λείψανον δὲν εἶχε, θὰ συνέδεε πάντως αὐτὸν λόγος τις ἱστορικὸς ἢ τοπικὸς ἐκ τοῦ βίου πηγάζων ἢ τοῦ μαρτυρίου τοῦ ἁγίου· τοῦθ' ὅπερ ἤρκει νὰ προκαλῇ μεγαλοπρεπῆ τῆς μνήμης αὐτοῦ πανήγυριν.

Μεθ' ὅσα ὅμως εἴπομεν εἰκαστικῶς καὶ ἄλλοτε καὶ νῦν περὶ τῆς 2-ας ἐν τοῖς πανηγυρικοῖς κανόσιν ᾠδῆς, ὁμολογοῦμεν εἰλικρινῶς, ὅτι τὸ περὶ ταύτης ζήτημα μένει παντελῶς ἄλυτον· εἶναι δ' ἐπιφυλαγμένον νὰ λυθῇ μόνον διὰ τῶν ἀνεξερευνήτων εἰσέτι λειτουργικῶν τυπικῶν. Ἡμεῖς ἁπλῶς σημειοῦμεν τὰ ἐν τοῖς ἀντιγράφοις τῶν πανηγυρικῶν κανόνων φαινόμενα μετὰ τῶν ἐντεῦθεν ἐξαγομένων συμπερασμάτων, διὰ νὰ νύττωνται τῆς ἐκκλησιαστικῆς ἡμῶν ὑμνογραφίας οἱ ἐρευνηταὶ εἰς συμπλήρωσιν ἢ ἀναίρεσιν τῶν συμπερασμάτων τούτων, ὅπως οὕτω, γνωστοποιουμένων σὺν τῷ χρόνῳ ὅλων τῶν μετὰ 2-ας ᾠδῆς πανηγυρικῶν κανόνων, σχηματισθῇ βάσιμός τις περὶ τῆς χρήσεως αὐτῶν γνώμη.

Τέλος ἐπανερχόμενοι εἰς τὴν σήμερον ἐν τῷ τετυπωμένῳ Μηναίῳ ὑπάρχουσαν ἀκολουθίαν τοῦ ὁσίου Θεοδώρου εἴμεθα γνώμης, ὅτι αὕτη ἐξ ἀρχῆς ἦτο προωρισμένη νὰ ψάλληται πρὸ τοῦ ὄρθρου, ἐν τῷ ἑσπερινῷ, ἢ ἐν τοῖς ἀποδείπνοις, ἢ ἐν τῇ ἀγρυπνίᾳ τῆς ἑορτῆς τοῦ εἰρημένου ὁσίου. Τὸν δὲ τοῦ ὄρθρου ἢ τῆς κυρίας ἑορτῆς κανόνα μετὰ τῶν οἰκείων αὐτῷ στιχηρῶν, ὧν ἁπάντων ποιητὴς εἶναι, καθὰ προελέχθη, ὁ Ἰωσήφ, ἀνέκδοτον μέχρι τοῦδε τύποις ὄντα, εὕρομεν ἐν ἀντιγράφῳ τῆς 11-ης ἑκατονταετηρίδος (Κῶδιξ 241-ος τοῦ ἁγίου Σάβα ἐν Ἱεροσολύμοις). Οὗτος ὁ κανὼν συνετέθη μετὰ τῶν ἑξῆς

προλόγων· πρῶτον μὲ ἓν κάθισμα εἰς ἦχον πλάγιον δ΄. δεύτερον μὲ τέσσαρα στιχηρὰ εἰς ἦχον πλάγιον α΄. αὐτὸς δὲ ὁ κανὼν ἐμελίσθη εἰς ἦχον πλάγιον δ΄. Ὅτι δὲ ἡ ἀκολουθία αὕτη εἶναι αὐτὴ ἡ τῆς κυρίας ἑορτῆς, ἔχομεν ἔμμεσον ἀπόδειξιν ἐκ τοῦ τυπικοῦ τῆς ἐν Κωνσταντινουπόλει μονῆς Θεοτόκου τῆς Εὐεργέτιδος, ἐν ᾧ εἶναι γεγραμμένα ταῦτα· «Μηνὶ τῷ αὐτῷ κβ΄ τοῦ ἁγίου Θεοδώρου τοῦ Συκεώτου. Στιχηρὰ ἦχος πλ. α΄. Ὁ κανὼν Ἰωσὴφ καὶ κάθισμα ἦχος δ΄. Εἰ τύχῃ ἔσωθεν τῆς Τεσσαρακοστῆς, ψάλλομεν ἐν Σαββάτῳ ἢ Κυριακῇ». Τὸ σημερινὸν ἐν τῷ Μηναίῳ κάθισμα εἶναι ἀκριβῶς μεμελισμένον εἰς ἦχον δ΄, τὰ στιχηρὰ ὅμως εἶναι ἤχου δ΄, ἐνῷ τὰ ἐν τῇ ἀνεκδότῳ ἀκολουθίᾳ εἶναι πραγματικῶς ἤχου πλαγίου α΄, ἐξ οὗ ἔπεται νὰ παρατηρηθῇ, ὅτι καὶ ὁ σὺν αὐτοῖς κανὼν τοῦ Ἰωσὴφ ἀντιπροσωπεύει τὴν κυρίαν ᾄσματικὴν ἀκολουθίαν τῆς 22-ας ἀπριλίου. Ἡ μόνη διαφορὰ μεταξὺ τῆς ἀκολουθίας ταύτης καὶ τοῦ τυπικοῦ τῆς Εὐεργέτιδος εἶναι ὅτι ἐκείνης μὲν τὸ κάθισμα εἶναι ἤχου πλαγίου δ΄, καθὰ καὶ ὁ κανὼν αὐτός, τὸ δ΄ ἐν τῷ τυπικῷ μνημονευόμενον ἦχου α΄. Τοῦτο καθ' ἡμᾶς δὲν ἔχει πολλὴν σημασίαν, ἂν ἀποβλέψωμεν εἰς τὸν χρόνον τῆς συντάξεως τοῦ τυπικοῦ τῆς Εὐεργέτιδος· τὸ τυπικὸν τοῦτο εἶναι σύνθεσις τοῦ τέλους ταῦ 11-ου ἢ τῆς ἀρχῆς τοῦ 12-ου αἰῶνος, καὶ ἀκριβῶς ἀπὸ τούτου τοῦ χρόνου τὰ Μηναῖα ἄρχονται νὰ παρουσιάζωνται συγκεχυμένα, ἐνῶ τὰ τοῦ 10-ου καὶ τὰ μέχρις ὑπερμεσοῦντος τοῦ 11-ου αἰῶνος περιέχουσιν ἐν ἑαυτοῖς τοὺς κανόνας σὺν τοῖς ἀνήκουσιν αὐτοῖς ἑτέροις ᾄσμασι κατὰ τὴν πρωτότυπον τῶν ὑμνογράφων καὶ σύνθεσιν καὶ διάταξιν[1].

Τὸ κείμενον τῆς ἀνεκδότου πρὸς τὸν ὅσιον Θεόδωρον ᾄσματικῆς ἀκολουθίας τοῦ ὑμνογράφου Ἰωσὴφ ἔχει οὕτω:

Μηνὶ ἀπριλίῳ κβ΄ τοῦ ὁσίου πατρὸς ἡμῶν Θεοδώρου Συκεῶν[2].

Κάθισμα.

Ἦχος πλ. δ΄, πρὸς τὸ «Τὴν σοφίαν».

Ἐκ Θεοῦ φερωνύμως* δῶρον δοθεὶς
τοῖς ἀνθρώποις πρὸς λύτρον* νόσων πολλῶν
μεγάλα καὶ ἐξαίσια* ἐξετέλεσας θαύματα,
μαλακίαν πᾶσαν* καὶ νόσον ἰώμενος
καὶ δαιμόνων στίφη* ἐλαύνων τῷ ῥήματι·
ὅθεν καὶ ἀξίως* τὴν Χριστοῦ Ἐκκλησίαν
ποιμάνας ὁμόσκηνος* τῶν ἀποστόλων γέγονας·
Ἱεράρχα Θεόδωρε*, πρέσβευε Χριστῷ τῷ Θεῷ
τῶν πταισμάτων κτλ.

Στιχηρά.

Ἦχος πλ. α΄, πρὸς τὸ «Ὅσιε πάτερ».

Ὅσιε πάτερ*, ἱερώτατε Θεόδωρε,
ἐκ μήτρας ἡγιάσθης* καὶ ἐπεγνώσθης Θεῷ,
ὡς πάλαι ὁ προφήτης* Ἱερεμίας·
σοῦ προεμήνυσε* τὸν τόκον ἀστήρ·
σοῦ τῇ ἀναλάμψει* τοῦ βίου ἐφωτίσθη
ἡ οἰκουμένη ὡς ἀληθῶς
καὶ τῶν δαιμόνων τὸ σκότος* ἐξηφανίσθη·
νόσοι ἠλάσθησαν* ἐκ πάσης ἡλικίας·
χάρις ἀνέβλυσε* παντοίων ἰαμάτων·
διὸ βοῶμέν σοι*, Χριστὸν δυσώπει πάντοτε
δωρηθῆναι τῇ Ἐκκλησίᾳ
ὁμονοίᾳ εἰρήνην* καὶ μέγα ἔλεος.
Ὅσιε πάτερ*, ἀξιάγαστε Θεόδωρε,
συντόνῳ ἐγκρατείᾳ* καὶ προσευχῶν τῷ πυρὶ
τὴν ὕλην καταφλέξας* τῆς ἁμαρτίας
ὅλην εἰσδέδεξαι* τὴν θείαν αὐγήν,
ὅλην τῆς Τριάδος* τὴν χάριν εἰσῳκίσω
καὶ ὅλως ὤφθης φωτοειδὴς
μαρμαρυγὰς ἰαμάτων* ἐναποστράπτων,
βλέπων τὰ ἔμπροσθεν*, ὡς πάλαι Ἐλισσαῖος,
λύων στειρώσεως* δεσμὰ καὶ φυγαδεύων
δαιμόνων φάλαγγας* δυνάμει θείου πνεύματος
καὶ πρεσβεύων τῇ οἰκουμένῃ
δωρηθῆναι εἰρήνην* καὶ μέγα ἔλεος.
Ὅσιε πάτερ*, πανσεβάσμιε Θεόδωρε,
ὁ ἥλιος ὁ πᾶσαν* καταφαιδρύνας τὴν γῆν
ἐν ἔργοις καὶ σημείοις* ἀναριθμήτοις,
δῶρον τὸ τίμιον* Χριστοῦ τοῦ Θεοῦ,
τῆς ἱερωσύνης* ἠκριβωμένη στάθμη,
τῶν μοναζόντων ὑπογραμμός,
ὁ στηριγμὸς τῶν ἐν πίστει* σοι προστρεχόντων,
λίθος ὁ τίμιος*, ὁ οἶκος τῆς Τριάδος,
κρήνη βρύουσα* ἰάσεων πελάγη,
Χριστὸν ἱκέτευε*, Χριστὸν δυσώπει, ὅσιε,
δωρηθῆναι [τῇ Ἐκκλησίᾳ
ὁμονοίᾳ εἰρήνην* καὶ μέγα ἔλεος].

---

1. Ἀλεξίου Δημητριέβσκη Περιγραφὴ λειτουργικῶν κωδίκων φυλαττομένων ἐν ταῖς βιβλιοθήκαις τῆς Ὀρθοδόξου Ἀνατολῆς. Ἐν Κιέβῳ 1895, τ. 1, σ. 448.

2. Παραλείπεται ἐνταῦθα τῶν ἐν τῷ κώδικι γραφικῶν ἁμαρτημάτων ἡ δήλωσις.

Ἄλλο.

Ἦχος πλ. α΄, πρὸς τὸ «Χαίροις ἀσκητικῶν».
Χαίροις*, τῶν μοναστῶν ἡ κρηπίς,
ἀρχιερέων* τὸ τερπνότατον ἔρεισμα,
ἡ δόξα* τῆς Ἐκκλησίας,
ἡ τῶν θαυμάτων πηγή,
τὸ σεπτὸν τοῦ πνεύματος* καταγώγιον,
ὁ νοῦς* ὁ οὐράνιος*, ἰαμάτων τὸ πέλαγος,
ἡ μυροθήκη* τοῦ σεπτοῦ ἁγιάσματος,
τὸ ἡδύπνοον* τοῦ δεσπότου ὀσφράδιον,
ἥλιος ὁ πολύφωτος*, ἀστὴρ ὁ ἀκοίμητος·
τῶν δωρημάτων τῶν θείων
ὁ πεπλησμένος Θεόδωρε*, Χριστὸν ἐκδυσώ-
[πει
[ταῖς ψυχαῖς ἡμῶν δοθῆναι* τὸ μέγα ἔλεος].

Ο ΚΑΝΩΝ ΦΕΡΩΝ ΑΚΡΟΣΤΙΧΙΔΑ ΤΗΝ ΔΕ·

«Τοὺς εὐκλεῖς σου δοξάζω πόνους, πάτερ, Ἰω-
[σήφ».

Ἦχος πλ. δ΄.

Ὠδὴ α΄. «Ἁρματηλάτην Φαραώ».
Τῇ τρισηλίῳ παρεστὼς θεότητι,
πάτερ, ὁλόφωτος
τοὺς τὴν σεπτὴν ταύτην
καὶ φωσφόρον σήμερον
τελοῦντάς σου πανήγυριν
σκοτασμοῦ ἁμαρτίας
καὶ ψυχικῆς ἀμαυρότητος
λύτρωσαι ταῖς σαῖς παρακλήσεσιν.
Ὁ προειδὼς τὸ εὐγενὲς τῶν τρόπων σου
καὶ πρὸ γεννήσεως,
θαυματουργὲ πάτερ,
ἄνωθεν μηνύοντα
τὴν ἱεράν σου σύλληψιν
καταπέμπει ἀστέρα·
καὶ γὰρ φωστὴρ ὤφθης ἄδυτος
πάντας καταυγάζων, Θεόδωρε.
Ὑπὸ Θεοῦ τοῦ ἀγαθοῦ κινούμενος
καὶ ἰθυνόμενος
ἐκ παιδικῆς, πάτερ,
ἡλικίας φρόνημα
οὐράνιον ἀνέλαβες
καὶ πολλῇ ἐγκρατείᾳ
καὶ ἐπιμόνοις ἀσκήσεσιν
πάθη τῆς σαρκὸς ἐθανάτωσας.
Σὲ ὁ κλεινὸς παιδγαωγῶν Γεώργιος,
ὡς δεδομένος σοι
ὑπὸ Θεοῦ φύλαξ,
τρίβους τὰς φερούσας σε
πρὸς βασιλείας εἴσοδον
καὶ πρὸς πᾶσαν ἰδέαν
τῶν ἀρετῶν ὑποδείκνυσιν·
μεθ' οὗ συνελθόντες τιμῶμέν σε.

Θεοτοκίον.

Εὐλογημένος ὁ καρπός, πανύμνητε,
ὁ τῆς κοιλίας σου,
δι' οὗ ἡμεῖς πάντες
τῆς ἀρᾶς ἐρύσθημεν,
συμφώνως σὲ δοξάζοντες
τῶν ὁσίων τὴν δόξαν,
τῶν ἀθλητῶν τὸ κραταίωμα
καὶ τῶν ἀποστόλων τὸ καύχημα.

Ὠδὴ γ΄. «Ὁ στερεώσας κατ' ἀρχάς».
Ὑπὸ Θεοῦ τοῦ παντουργοῦ
φωταγωγούμενος, πάτερ,
ἐγκρατείᾳ ταῖς ἁγίαις ἡμέραις
ἐναπέκλειες σαυτόν,
Θεῷ μόνῳ ὁρώμενος
καὶ ὑπ' αὐτοῦ καρδίας
τὸ ὀπτικὸν φωτιζόμενος.
Κατακρημνῆσαί σε ποτὲ
ὁ δυσμενὴς ἐπειράθη,
ὁ κλεινὸς δέ σε ἐρύσατο μάρτυς
τῆς ἐνέδρας τῆς αὐτοῦ,
Θεόδωρε πανθαύμαστε,
τῶν μοναζόντων κλέος,
ἱεραρχῶν ἀκροθίνιον.
Λελογισμένως τῶν ψαλμῶν
τὴν μάθησιν ποιουμένῳ
προσετέθη σοι ὡς μέλι γλυκαῖνόν
τὴν καρδίαν σου, σόφε,
ἡ τούτων θεία μάθησις
ἐν τῷ πιστῶς αἰτεῖσθαι
παρὰ Χριστοῦ τοῦ Θεοῦ ἡμῶν.

Θεοτοκίον.

Ἐκ σοῦ ἀνέτειλεν ἡμῖν
ἥλιος δικαιοσύνης,
Ἰησοῦς, ὁ φωτισμὸς τῶν ἐν σκότει·
ὃν ἱκέτευε, ἁγνή,
φωτίσαι τὰς ψυχὰς ἡμῶν,
εἰλικρινεῖ καρδίᾳ
τῶν εὐσεβῶς ἀνυμνούντων σε.

Ὠδὴ δ΄. «Σύ μου ἰσχύς, Κύριε».

Ἐκ παιδικῆς* σὺ ἡλικίας ἀρχόμενος
τῶν σημείων*, μέγιστε Θεόδωρε,
λύεις αὐχμόν*, φέρεις ὑετόν,
τὸν ἀγαθοδότην* καθικετεύσας Θεὸν ἡμῶν
ὡς δεύτερος Ἠλίας*· ὡς ἐκεῖνος γάρ, πάτερ,
ἡσυχίᾳ Χριστὸν ἐξεζήτησας.

Ἱερουργός*, πάθη νικήσας τοῦ σώματος,
ἀπεφάνθης*, ἄφατον ἐγκράτειαν,
ὑπομονήν*, πίστιν ἀληθῆ,
πάτερ, καὶ ἀγάπην* κτησάμενος πρὸς τὸν
[Κύριον·
ὃν αἴτησαι ρυσθῆναι* νοσημάτων παντοίων
καὶ παθῶν καὶ κινδύνων τὴν ποίμνην σου.

Σὺ ἀνελθών*, πάτερ, εἰς ὄρος διέλαθες
ἐπὶ χρόνον* πλεῖστον, καθειργνύμενος
ὑπὸ τὴν γῆν* καὶ κακοπαθῶν
καὶ τὰς σηπεδόνας* καθυποφέρων τοῦ σώ-
[ματος
καὶ τὴν ἐκ τῶν σκωλήκων* ὡς Ἰὼβ ὁ γεν-
[ναῖος
ἀλγηδόνα, τρισμάκαρ Θεόδωρε.

Σοῦ τὴν ψυχὴν* πόθῳ συνδήσας τοῦ κτίσαντος
τοὺς Ἁγίους* Τόπους ἐπεθύμησας
καταλαβεῖν* καὶ τὸ ζωηρὸν
μνῆμα προσκυνῆσαι* καὶ πάντα οἶκον σε-
[βάσμιον,
ἐν οἷς τῶν μοναζόντων* θεῖον σχῆμα φο-
[ρέσας
ἀρετῶν διαυγείαις ἐξήστραψας·

Θεοτοκίον.

Ὁ τοῦ Θεοῦ* λόγος, παρθένε, προάναρχος
διὰ λόγου* ᾤκησεν ἐν μήτρᾳ σου
καὶ γεννηθεὶς* τὰς τῶν μοναστῶν
εἵλκυσεν ἀγέλας* δι' ἀρετῶν τελειότητος
αὐτῷ κολλᾶσθαι πόθῳ* μελῳδοῦντας ἐκφώ-
[νως·
«Τῇ δυνάμει σου δόξα, φιλάνθρωπε».

Ὠδὴ ε΄. «Ἵνα τί με ἀπώσω».

Ὑπὸ τῆς ἐνοικούσης* χάριτος, πανόλβιε,
τῇ καθαρᾷ σου ψυχῇ* ὡς Θεοῦ θεράπων
συγκινούμενος ἄθροισμα ἅγιον
μοναστῶν ἀθροίζεις,
καθοδηγῶν* αὐτοὺς πρὸς τρίβους
οὐρανίους, θεόφρον Θεόδωρε.

Διανοίᾳ τελείᾳ* σπήλαιον κατῴκησας
ἀγωνιζόμενος* καὶ τὰς μυριάδας
ἐξ αὐτοῦ τῶν δαιμόνων ἐξῴκησας·
σιδηροῦ δὲ μέσον,
πάτερ, κλωβοῦ* κατειλημμένος
ὥσπερ ἄσαρκος ἔστης, Θεόδωρε.

Ὁ ζυγὸς ὁ χρηστός σε* καὶ τὸ ἐλαφρότατον
φορτίον, ὅσιε, ἐλαφρύνας πάσης
ἁμαρτίας τὸν φόρτον ἐνίσχυσεν
τοῦ σιδηροῦ φέρειν,
ἐπιβαρύνοντα τὸ σῶμα
ἕως γήρως, θεόφρον Θεόδωρε.

Ξένον βίον ἀνύσας* πόνοις, καταπλήττοντα
πᾶσαν διάνοιαν*, ὥσπερ θῆρας, πάτερ,
τὰ ὀλέθρια πάθη ὑπέταξας
καὶ θηρσὶν ἀγρίοις
διὰ χειρὸς* τροφὴν παρέσχες
θαυμαζόμενος πίστει Θεόδωρε.

Θεοτοκίον.

Ἀδιόδευτε πύλη*, πύλας μετανοίας μοι,
ἁγνή, διάνοιξον*· τῶν ὁσίων δόξα,
αἰωνίου με δόξης ἀξίωσον,
σὲ δοξολογοῦντα
καὶ τὸν ἐκ σοῦ* ἀρρήτῳ λόγῳ
σαρκωθέντα, παρθένε θεόνυμφε.

Ὠδὴ ς΄. «Ἱλάσθητί μοι, Σωτήρ».

Σεπταῖς ἁγίων εὐχαῖς
τῶν Ἀναργύρων, Θεόδωρε,
προσθήκην ἔσχες ζωῆς,
νεκρώσας ἀσκήσεσιν
τὰ πάθη τοῦ σώματος
καὶ πολλῶν θαυμάτων
ἐπιδείξει σεμνυνόμενος.

Ὡς πέτραν ἐν τῇ ψυχῇ
τὴν πίστιν ἔχων ἀσάλευτον
σαλεύεις πέτραν τῷ σῷ,
Θεόδωρε, ῥήματι
καὶ ὄμβρον χεόμενος
διαστέλλεις ξένως
τοὺς ὁδίτας ἐκλυτρούμενος.

Ποιμὴν ὀφθεὶς λογικῶς
ἀρχιερέων ἐν χρίσματι
ἐποίμανας ἱερῶς
λαὸν περιούσιον,
φωτοβόλοις λάμψεσι
καταυγάζων τούτους
τῶν θαυμάτων σου, Θεόδωρε.

Θεοτοκίον.

Ἁγίων πάντων χαρά,
ἀρχιερέων κραταίωμα

καὶ πάντων τῶν εὐσεβῶν
ὑπάρχεις διάσωσμα,
Παναγία ἄχραντε·
διὰ τοῦτο πᾶσαι
αἱ φυλαὶ τῆς γῆς ὑμνοῦσί σε.

Ὠδὴ ζ΄. «Θεοῦ συγκατάβασιν».

Νοὸς τελειότητι
μετρίως εἵλου* ζῆν ταπεινούμενος·
διὰ τοῦτο τὸν ὄγκον* ἐναποφεύγων
τοῦ ἀξιώματος* ἐνεγκαμένης
τὴν ξένην προέκρινας,
«Εὐλογητὸς» ἐκβοῶν «ὁ τῶν πατέρων Θεός».

Οἱ πρὶν ὄντες ἄλαλοι
καὶ μογιλάλοι* ἄλαλοι δείκνυνται
ἱερᾷ σου ἐντεύξει* καὶ τῆς παρέσε-
ως ἀπολύονται* οἱ παρημένοι,
τρισμάκαρ Θεόδωρε,
θαυματουργοῦντος Θεοῦ* διὰ τῶν σῶν προ-
[σευχῶν.

Ὑμνεῖν σου τὰ θαύματα
οὐκ ἐξισχύει* γλῶττα, Θεόδωρε·
ὑπερβαίνει γὰρ ψάμμον* τὰ τούτων πλήθη,
Θεοῦ σε δείξαντος* καὶ πρὸ θανάτου
καὶ μετὰ τὴν κοίμησιν
πηγὴν πολλῶν δωρεῶν* βρύουσαν νάματα.

Θεοτοκίον.

Σέ, πάναγνε δέσποινα,
ὁσίων δόξα*, μαρτύρων καύχημα,
ἐν νυκτὶ καὶ ἡμέρᾳ* ἐπικαλοῦμαι·
σπεῦσον, βοήθει μοι*, πειρατηρίων
τοῦ βίου ἐξαίρουσα
καὶ αἰωνίου φλογὸς* ἐκλυτρουμένη με.

Ὠδὴ α΄. «Ἐπταπλασίως κάμινον».

Πνεῦμα Θεοῦ τὸ ἅγιον* ἐπὶ σοὶ ἀνεπαύσατο·
ὅθεν σε πνευμάτων πονηρῶν ἀνέδειξεν
διώκτην Θεόδωρε*· ἐγκελευόμενος γὰρ αὐ-
[τοῖς,
πάτερ, φοβερῶς* ἐναποκλείεις εἰς τόπους
αὐτοὺς ἀφωρισμένους* ἕως τῆς συντελείας·
διό σε συνελθόντες* ἀξίως ἀνυμνοῦμεν.

Ἀπολυθὲν τὸ γύναιον* τῆς χρονίας παρέσεως
ὕμνει διὰ σοῦ τὸν ποιητήν, Θεόδωρε,
τὸν σὲ χαριτώσαντα* ἐν τῷ προσφέρειν, πά-
[τερ, αὐτῷ
πίστει καθαρᾷ* τὰς ἀναιμάκτους θυσίας,
ὁράσεών τε θείων* σὲ πληρώσαντα, μάκαρ,
ὑφ' ὧν κατελαμπρύνθης* τὸν νοῦν καὶ τὴν
[καρδίαν.

Τὴν πρὸς Θεόν σου, ὅσιε*, ἐκδημίαν ἐδήλωσεν
ὁ περιφανὴς ἐν ἀθληταῖς Γεώργιος
σαφῶς ὀπτανόμενος* καὶ βακτηρίαν ἐπιδι-
[δοῦς
ἵππῳ τε σεπτῶς* προσεφιζάνειν σε, μάκαρ,
προστάττων μελῳδοῦντα*· «Ἱερεῖς, εὐλο-
[γεῖτε·
λαός, ὑπερυψοῦτε* εἰς πάντας τοὺς αἰῶνας».

Ἔξω σαρκὸς καὶ κόσμου σε* γεγονότα, Θεόδωρε,
ὁ παμβασιλεύς τε καὶ Θεὸς ὡς γνήσιον
καὶ θεῖον θεράποντα* ἀπὸ τῆς γῆς ἀνέλαβεν
πρὸς τοὺς οὐρανούς*, προηγουμένων ἀγγέ-
[λων
τῆς σῆς ψυχῆς ἐνδόξως*, μεθ' ὧν μέλπεις ἀ-
[παύστως·
«Λαός, ὑπερυψοῦτε* εἰς πάντας τοὺς αἰῶνας».

Θεοτοκίον.

Ῥῦσαι πυρός με, πάναγνε*, καὶ παθῶν ἀμαυρώ-
[σεως
καὶ τῆς ἐν τῷ Ἅιδῃ χαλεπῆς κολάσεως,
δαιμόνων κακώσεως*, ἐπερχομένης θλίψεως,
ὅπως σε τιμῶν* ἐν κατανύξει κραυγάζω·
«Οἱ παῖδες, εὐλογεῖτε*· ἱερεῖς, ἀνυμνεῖτε·
λαός, ὑπερυψοῦτε* εἰς πάντας τοὺς αἰῶνας».

Ὠδὴ θ΄. «Ἐξέστη ἐπὶ τούτῳ* ὁ οὐρανός».

Ἰδεῖν κατηξιώθης*, ἃ ὀφθαλμὸς
οὐ κατεῖδεν καὶ οὓς οὐκ ἀκήκοεν,
ἀπολυθείς*, μέγιστε Θεόδωρε, τῆς σαρκὸς
καὶ σὺν ταῖς ἄνω τάξεσιν
πάντοτε παρίστασαι Χριστῷ
φωτὸς ἀκραιφνεστάτου* πληρούμενος καὶ
[πίστει
φωταγωγῶν τοὺς εὐφημοῦντάς σε.

Ὡράθης μετὰ τέλος* θαυματουργῶν·
πηρωθείσας γὰρ κόρας διήνοιξας
τῶν ἐκ ψυχῆς*, πάτερ, προσελθόντων σοι
[εὐσεβῶς.
ὁ γὰρ Θεὸς δοξάζων σε,
μάκαρ, ὃν ἐδόξασας ἐπὶ γῆς
πηγὴν δεικνύει πᾶσιν* τὴν ἱεράν σου θήκην,
θαύματα βλύζουσαν ὡς νάματα.

Συνήθως ἐπὶ πάντας* ράνον ἡμᾶς
τῶν θαυμάτων σου νῦν τὴν ἐνέργειαν,
πάτερ σοφέ*, πίστει δυσωπούμενός σε ἐκτε-
[νῶς,
τὰς ψυχικὰς ἰώμενος
νόσους καὶ σωμάτων τὰς χαλεπάς

ἐξαίρων μαλακίας* ὡς μέγιστος προστάτης
τῶν προστρεχόντων σοι, Θεόδωρε.
Ἡ θήκη σου ἐκπέμπει* ὀσμὴν ζωῆς·
εὐωδία Χριστοῦ γὰρ γεγένησαι,
ὡς ἀρεταῖς* περιηνθισμένος παντοδαπαῖς·
ἣν εὐσεβῶς, Θεόδωρε,
πάντοτε κυκλοῦντες πνευματικῆς
ὀσμῆς οἱ σὲ τιμῶντες* πληρούμεθα ἀπαύ-
[στως,
μεγαλοφώνως σε γεραίροντες.

Θεοτοκίον.

Φιλάνθρωπον τεκοῦσα* ὑπερφυῶς,
παναμώμητε δέσποινα, Κύριον,
τοῦτον, ἁγνή*, πάντοτε δυσώπει ὑπὲρ ἡμῶν
τῶν ἀναξίων δούλων σου,
ὅπως ἐν ἐλέει καὶ οἰκτιρμοῖς
ἡμᾶς κατοικτειρήσῃ* τοὺς τεταπεινωμένους
καὶ ἀπολέσθαι κινδυνεύοντας.

(ἕπεται συνέχεια).

Α. Π.-Κεραμεύς.

ΕΓΓΡΑΦΑ

ΤΟΥ

ΠΑΤΡΙΑΡΧΙΚΟΥ ΑΡΧΕΙΟΦΥΛΑΚΙΟΥ

ἐκδιδόντος

ἀρχιμ. Ἰωακεὶμ Φοροπούλου δ. φ.

ἀρχειοφύλακος τοῦ οἰκουμενικοῦ Πατριαρχείου.

Πηγαὶ τῆς ἱστορίας τῆς ἱδρύσεως, συντηρήσεως καὶ διοικήσεως τῶν Σχολῶν τοῦ Γένους ἐν Κωνσταντινουπόλει καὶ ταῖς ἐπαρχίαις τοῦ οἰκουμενικοῦ Θρόνου*.

Ἀριθ. 14.

Ἀθωνιὰς Σχολή.

Ἴσον ἀπαράλλακτον τοῦ ἤδη ἐκδοθέντος πατριαρχικοῦ συνοδικοῦ σιγγιλιώδους γράμματος ἕνεκα τῆς συστάσεως καὶ διαμονῆς τοῦ κατὰ τὴν ἱερὰν καὶ βασιλικὴν μονὴν τοῦ Βατοπεδίου νεωστὶ γεγονότος καὶ κατασταθέντος φροντιστηρίου.

† Κύριλλος ἐλέῳ Θεοῦ ἀρχιεπίσκοπος Κων]πόλεως νέας Ρώμης καὶ Οἰκουμενικὸς Πατριάρχης.

Τῶν ἐν τῷ μετὰ σώματος τῷδε βίῳ ὁμολογουμένων ὄντως παρ' ἀνθρώποις καλῶν τὸ τῆς παιδείας καὶ μαθήσεως θεοδώρητον χρῆμα ἀσυγκρίτως πάντων τῶν λοιπῶν ὑπερίδρυται καὶ τὴν ἀνωτάτω χώραν κεκλήρωται κατὰ τὸν μέγαν ἐν θεολογίᾳ Γρηγόριον. . . .

Ἐπειδὴ τοιγαροῦν καὶ ταῦτα οἱ ὁσιώτατοι προεστῶτες τῆς ἐν τῷ ἁγιωνύμῳ ὄρει ἱερᾶς καὶ βασιλικῆς μονῆς τοῦ Βατοπεδίου θεόθεν ὁδηγηθέντες καὶ ἔνθεον ζῆλον ἀναλαβόντες ἐρασταὶ ἐγένοντο διάπυροι καὶ θερμώτατοι τοῦ θεοδωρήτου τούτου χρήματος τῆς παιδείας τε καὶ μαθήσεως καὶ διὰ κοινῆς αὐτῶν καὶ ὁμοφώνου βουλῆς τε καὶ γνώμης συνέθεντο φροντιστήριον καταστῆσαι ἑλληνικῶν, μαθημάτων παιδείας τε καὶ διδασκαλίας παντοδαποῦς ἔν τε λογικαῖς, φιλοσοφικαῖς τε καὶ θεολογικαῖς ἐπιστήμαις, οἰκοδομῆσαί τε ἐκ βάθρων καὶ ἀνεγεῖραι αὐτό, ἔσω μὲν τῶν ὁροθεσίων τῆς ἱερᾶς μονῆς αὐτῶν ταύτης ἀπολαβόντες τόπον τινά, θέσεώς τε ἄριστα ἔχοντα καὶ εὐκράτῳ ἀέρι καταπνεόμενον, ἔξωθεν δὲ κείμενον τῆς περιοχῆς καὶ κεχωρισμένον τῆς μονῆς, ἀπράγμονα ἡσυχίαν καὶ τῆς τῶν πολλῶν ἐπιμιξίας καὶ τύρβης ἐξηρημένην καὶ ἐλευθέραν τῶν τῇ σπουδῇ καὶ παιδείᾳ σπουδάζειν ἐπανηρημένων ἐμφρόνως διὰ τοῦτο καταστοχασάμενοι, οὐ πάντῃ δ' αὖ ἀπῳκισμένον ἐδείμαντο, ἀλλὰ πλησίον παρακείμενον καὶ γειτνιάζον τῇ μονῇ διὰ τὴν ἐκ τοῦ σύνεγγυς πρόχειρον καὶ εὐμαρῆ ἐπιχορηγίαν τῶν πρὸς ζωάρκειαν ἀναγκαίων τοῖς παιδευομένοις, καὶ διορίσαι ἐν αὐτῷ διδάσκαλον ἔμπειρον καὶ εἰδήμονα καὶ ἱκανὸν διδάσκειν τήν τε κατὰ γραμματικοὺς κυκλοπαιδείαν, λογικάς τε καὶ φιλοσοφικὰς καὶ θεολογικὰς ἐπιστήμας· κἀντεῦθεν διδάσκεσθαι καὶ παιδεύεσθαι ἐν αὐτῷ μὴ μόνον τοὺς ἀπὸ τῆς αὐτῆς ἱερᾶς μονῆς, ἀλλὰ καὶ εἴτις ἄλλος ἀπὸ τῶν λοιπῶν ἐν τῷ ἁγίῳ ὄρει σεβασμίων μονῶν βουλῇ καὶ ἀδείᾳ τῶν ἐν αὐταῖς προϊσταμένων, ἢ καὶ ἔξωθέν ποθεν ἐπιδεδημηκὼς ἐραστὴς ὢν τῆς τοιαύτης διδασκαλίας καὶ ἱκανὸς πρὸς τὴν τῶν μαθημάτων ἀνάληψιν, πρόσφορός τε καὶ ἄξιος καὶ ἀνεπίληπτος τῷ θιάσῳ τῶν συσχολαζόντων ἐγκαταλεγῆναι προσφοιτήσειεν ἐπὶ τῷ παιδευθῆναι, ὥστε κοινὸν προκεῖσθαι τοῖς βουλομένοις καὶ ἀξίοις ἀρετῆς καὶ παιδείας καὶ διδασκαλίας γυμνάσιον· οὕτω μὲν οὖν προτεθύμηντο καὶ ὅλῃ ψυχῇ ἀπάρξεσθαι τοῦ ἔργου ὁρμηθέντες, ἐπειδὴ ἔγνωσαν ἑαυτοὺς ἐπιδεῶς ἔχοντας τῶν ἀναγκαίως συντρεχόντων οὐ μετρίων δαπανημάτων ἐπί τε τῇ ἀνεγέρσει καὶ οἰκοδομῇ τοῦ μελετηθέντος αὐτοῖς φροντιστηρίου τούτου, εὐρυχωρίᾳ τε καὶ οἰκήμασιν ἀποχρώντως ὀφείλοντες συμπεπληρῶσθαι καὶ ἐξαρκεῖν δυναμένου τῇ μετ' ἀνέσεως καὶ ἡσυχίας ἀναπαύσει καὶ ἐλευθέρᾳ σπουδῇ τε καὶ ἐπιδόσει τῶν συνελευσομένων ἐν αὐτῷ μαθητῶν, ναί μὴν καὶ ἐπὶ τῷ κατ' ἔτος χορηγουμένῳ σιτηρεσίῳ καὶ μισθῷ τῷ καταστηθέντι ἐν αὐτῷ διδασκάλῳ, ἀλλὰ δὴ καὶ τῇ εὐπορίᾳ τῶν πρὸς ζωάρκειαν ἐπιτηδείων τοῖς σχολάζουσι μαθηταῖς, ὧν ἁπάντων ἡ πρόνοια καὶ φροντὶς ἀναγκαίως προηγεῖσθαι ὀφείλει καὶ προπαρα-

* Συνέχεια ἀπὸ σελίδος 347— 473.

σκειάζεσθαι ἔν γε τοῖς τοιούτοις ἐγχειρήμασι, προσέδραμον τῇ κηδεμονίᾳ καὶ ἀντιλήψει τῆς καθ' ἡμᾶς τοῦ Χριστοῦ Μεγάλης Ἐκκλησίας ὡς κοινῆς Μητρὸς καὶ εὐεργέτιδος τῶν εὐσεβῶν ἁπάντων καὶ μάλιστα τῶν εὐαγῶν τοῦ Θεοῦ σκηνωμάτων, διὰ κοινοῦ αὐτῶν γράμματος δεόμενοι ἐνθέρμως καὶ ἐκλιπαροῦντες τυχεῖν τῆς ἐνδεχομένης συνδρομῆς καὶ ἀντιλήψεως ἐπὶ τῷ δυνηθῆναι εἰς πέρας ἀγαγεῖν τὸ ρηθὲν κοινωφελὲς ἅμα καὶ ψυχωφελὲς καὶ θεάρεστον αὐτὸ ἔργον· καὶ δὴ τὴν δέτσιν καὶ ἀξίωσιν αὐτῶν ταύτην ἀποδεξάμενοι μετὰ πάσης προθυμίας καὶ περιχαρείας, ὡς λίαν ἡμῖν ἐφετὴν οὖσαν καὶ καταθύμιαν καὶ ἐκθειάσαντες ἅμα ὡς ἐπαινετὴν καὶ θεάρεστον καὶ μυρίων ἀγαθῶν πρόξενον, οὐ μόνον τοῖς ἐν τῷ ἁγιωνύμῳ ὄρει ἐνασκουμένοις πατράσιν, ἀλλὰ καὶ πᾶσι τοῖς ἁπανταχοῦ τοῦ καθ' ἡμᾶς γένους ὀρθοδόξοις χριστιανοῖς, ὡς διαδίδοσθαι μελλούσης ἅπασι τῆς ἐξ αὐτῶν ἐν παιδείᾳ καὶ διδασκαλίᾳ ὠφελείας διὰ τῆς ἑκασταχοῦ περιηγήσεως αὐτῶν ἐπ' αἰτίᾳ τῶν χάριν ἐλεημοσύνης γινομένων ταξειδίων διὰ τῆς πνευματικῆς αὐτῶν διδασκαλίας καὶ παραινέσεως, δεῖν ἔγνωμεν ἀντιλαβέσθαι τοῦ φροντιστηρίου τούτου ὅλῃ σπουδῇ καὶ προθυμίᾳ διεγηγερμένῃ καὶ ἐπαρκέσαι αὐτοῖς τὸν ἐνόντα τρόπον. Κἀντεῦθεν κοινῶς καὶ συνοδικῶς συνδιασκεψάμενοι ἀπεφηνάμεθα σὺν Θεῷ συνεργοῦντι καὶ εὐοδοῦντι συγκροτηθῆναι τὸ φροντιστήριον τοῦτο κατὰ τὴν ἀξίωσιν τῶν εἰρημένων βατοπεδινῶν πατέρων καὶ συναπαρτισθῆναι τέως ἐκ μέρους τῆς καθ' ἡμᾶς τοῦ Χριστοῦ Μεγάλης Ἐκκλησίας καὶ τῆς ἱερᾶς Συνόδου τὰ πρὸς τὴν σύστασιν αὐτοῦ ἀναγκαίως συντείνοντα. Καὶ δὴ πρῶτον μὲν πρόνοιαν ἐθέμεθα διορίσασθαι καὶ καταστῆσαι ἐνταῦθα ἐν Κωνσταντινουπόλει τέσσαρας ἐπιτρόπους καὶ ἐπιστάτας καὶ κηδεμόνας τοῦ ρηθέντος φροντιστηρίου, δύο μὲν ἐκ τῶν συνεδριαζόντων κατὰ καιροὺς ἐγκρίτων ἀρχιερέων καὶ μητροπολιτῶν τῆς καθ' ἡμᾶς ἱερᾶς ὁμηγύρεως, τόν τε Ἡρακλείας καὶ τὸν Νικομηδείας, καὶ δύο ἐκ τῶν προκρίτων καὶ τιμίων μαγιστόρων τοῦ χρησίμου ρουφετίου τῶν γουναράδων, τὸν .... καὶ τὸν .... Καὶ τοὺς μὲν κοσμικοὺς ἔχειν τὴν ἐπιστασίαν τῆς τῶν χρημάτων ληψοδοσίας καὶ λαμβάνειν εἰς χεῖρας αὐτῶν τὸ χορηγούμενον ἔλεος καὶ σιτηρέσιον καὶ καταγράφειν ἐν καθαρῷ καταστίχῳ καὶ πέμπειν αὐτὸ ἀσφαλῶς εἰς τὴν ἱερὰν μονὴν τοῦ Βατοπεδίου, τοὺς δὲ συναδέλφους ἀρχιερεῖς ἐφορᾶν καὶ ἐξετάζειν καὶ μανθάνειν μετὰ πάσης πληροφορίας τὸν πορισμὸν καὶ τὴν χορηγίαν τοῦ τοιούτου ἐλέους καὶ προνοεῖν τῆς εἰς τὸ ρηθὲν μοναστήριον ἐν ἀσφαλείᾳ ἀποστολῆς αὐτοῦ· ἐκεῖσε δὲ ἐν τῇ ἱερᾷ μονῇ ταύτῃ διωρίσαμεν καὶ κατεστήσαμεν ἐπίτροπον τὸν ὁσιώτατον προηγούμενον τῆς αὐτῆς μονῆς ἐν ἱερομονάχοις κὺρ Μελέτιον, οὐ μόνον ὡς ἱκανὸν καὶ ἄξιον καὶ πρόσφορον τυγχάνοντα τῆς τοιαύτης ἐπιστασίας, ἀλλὰ καὶ ὡς ζηλωτὴν διάπυρον ἀναφανέντα καὶ πρωταίτιον τοῦ θεαρέστου τουτουί ἔργου καὶ συνεργὸν καὶ συμπράκτορα, ὥστε αὐτὸν μὲν ἐκεῖσε ἐπιτροπεύειν τοῦ φροντιστηρίου τούτου, δέχεσθαι τὸ παρὰ τῶν εἰρημένων ἐνταῦθα ἐπιτρόπων ἀποστελλόμενον ἔλεος καὶ σιτηρέσιον καὶ πληροῦν δι' αὐτοῦ τὸν τοῦ διδασκάλου μισθόν, παρέχειν τε τὰ πρὸς ζωάρκειαν τῶν μαθητιώντων καὶ προνοεῖν τῶν λοιπῶν χρειωδῶν τοῦ φροντιστηρίου, ἀναφέρειν τε διὰ γράμματος αὐτοῦ πρὸς τοὺς ἐνταῦθα ἐπιτρόπους πᾶσαν χρείαν καὶ ὑπόθεσιν τοῦ αὐτοῦ φροντιστηρίου καὶ ὅσα συντείνουσιν ἐπὶ τῇ συστάσει καὶ διαμονῇ καὶ προόδῳ καὶ βελτιώσει αὐτοῦ, τοὺς δ' ἐνταῦθα ἐπιτρόπους ἀποκρίνεσθαι πρὸς αὐτὸν τὸν κὺρ Μελέτιον καὶ μηνύειν καὶ δηλοῦν καὶ διατάττειν τὴν ἐπὶ τοῖς ἀπαιτουμένοις θεραπείαν καὶ διόρθωσιν καὶ εἰς χεῖρας αὐτοῦ πέμπειν τὸ ποριζόμενον ἔλεος. Ταύτης γοῦν τῆς ἑκατέρωθεν ἐπιτροπικῆς καὶ προνοητικῆς ἐπιστασίας καὶ ἐπισκέψεως κρηπῖδος δίκην καὶ βάσεως προϋποτεθείσης, δεύτερον διωρισάμεθα ἀπὸ τῶν ἐτησίων ἐκκλησιαστικῶν δικαιωμάτων τῆς καθ' ἡμᾶς τοῦ Χριστοῦ Μεγάλης Ἐκκλησίας τὴν ἀπόδειξιν τοῦ θεοφιλεστάτου ἐπισκόπου Ἱερισσοῦ καὶ ἁγίου ὄρους, ς τὴν οὖσαν ἄσπρων χιλιάδων εἰκοσιτεσσάρων, ἀφιερωθῆναι τοῦ λοιποῦ εἰς τὸ φροντιστήριον τοῦτο, ἥτις ὀφείλει ἀπαραιτήτως πέμπεσθαι κατ' ἔτος παρὰ τῆς καθ' ἡμᾶς τοῦ Χριστοῦ Μεγάλης Ἐκκλησίας καὶ τῶν ἐνταῦθα ἐπιτρόπων τοῦ φροντιστηρίου τούτου εἰς χεῖρας τοῦ ἐκεῖσε ἐν Βατοπεδίῳ διατελοῦντος ἐπιτρόπου, κἀκεῖνος ἔχει παραλαμβάνειν αὐτὰ παρὰ τοῦ ρηθέντος θεοφιλεστάτου ἐπισκόπου· οὐ μόνον δὲ αὐτά, ἀλλὰ καὶ εἴ τι ἂν ἄλλο ἔλεος συμπορισθῇ τῇ τοῦ Θεοῦ εὐδοκίᾳ καὶ χάριτι παρ' οἱουδήτινος μέρους τε καὶ προσώπου ἐπὶ τῇ συστάσει τοῦ φροντιστηρίου τούτου (σκοπὸν γὰρ ἐθέμεθα Θεοῦ συναιρομένου, συνεφάψασθαι καὶ συνεπαρκέσαι αὐτῷ ἀπό τε ἐράνου ἐκκλησιαστικοῦ, ἀρχοντικοῦ τε καὶ πολιτικοῦ, ἀπό τε κουτίων ἐλεημοσύνης περιερχομένων ἐν ταῖς ἁγίαις τοῦ Θεοῦ ἐκκλησίαις καὶ οὑτινοσοῦν ἑτέρου δυνατοῦ πόρου)· ταῦτα γοῦν πάντα ὅσα ἂν γένηται, ἔχωσι μὲν λαμβάνειν εἰς χεῖρας αὐτῶν οἱ ρηθέντες ἐνταῦθα ἐπίτροποι κατὰ τὸν ἀνωτέρω ἐκτεθέντα διορισμόν, αὐτοὶ δὲ πέμπωσιν ἀσφαλῶς εἰς χεῖρας τοῦ ἐκεῖσε ἐπιτρόπου κὺρ Μελετίου, ὡς εἴρηται, κἀκεῖνος ἔχει δαπανᾶν αὐτὰ καὶ διδόναι εἰς τὰς χρείας τοῦ φροντιστηρίου. Τρίτον διοριζόμεθα ὅπως ὁ κατασταθεὶς ἐν αὐτῷ διδάσκαλος, παραδιδοὺς τὰ μαθήματα μετὰ πάσης φιλοπονίας καὶ προθυμίας, καὶ ἐκφροντίζον ἐπιμελῶς τῆς προκοπῆς καὶ ἐπιδόσεως τῶν ὑπ' αὐτοῦ διδασκομένων λόγῳ καὶ ἔργῳ καὶ πράξει καὶ θεωρίᾳ ρυθμίζων καὶ γυμνάζων καὶ παιδεύων αὐτούς, ὀφείλει μηδένα δέχεσθαι εἰς διδασκαλίαν ἐκ τῶν προσφοιτώντων αὐτῷ ἀπὸ τῶν λοι-

πῶν ἐν τῷ ἁγιωνύμῳ ὄρει μοναστηρίων ἱερομόναχον τυχόν, ἢ ἱεροδιάκονον ἢ μοναχόν, χωρὶς βουλῆς καὶ ἀδείας καὶ γράμματος ἀπολυτικοῦ τοῦ προεστῶτος αὐτοῦ, ἀλλὰ μόνον δέχεσθαι τοὺς μετὰ τοιαύτης ἀδείας καὶ παρακλήσεως τῶν προϊσταμένων αὐτῶν προσερχομένους· τοῦτο γὰρ καὶ νόμιμον καὶ κανονικὸν καὶ τῆς ἐκκλησιαστικῆς εὐταξίας ἐχόμενον· τῶν δὲ ἔξωθεν τοῦ ἁγίου ὄρους ἐξ ἡστινοσοῦν πολιτείας καὶ χώρας ἐπιδημούντων ξένων χάριν παιδεύσεως, ἐκείνους ἀποδέχεσθαι μόνον, οὓς ἂν ἐπιγνῶ φιλομαθεῖς ὄντας καὶ φιλοπόνους καὶ οὐκ ἀφυῶς ἔχοντας, ἀλλά γε δὴ καὶ εὐτάκτως καὶ σωφρόνως συσπουδάζειν τοῖς λοιποῖς συσχολασταῖς δυναμένους καὶ πειθομένους· ὃν δ' ἂν ἐπιγνῶ ἀνεπιτηδείως ἔχοντα καὶ ταραξίαν καὶ ἀπειθῆ καὶ πρόσκομμα ἐσόμενον τοῖς αἰσχροῖς ἤθεσι καὶ τῷ φαυλοβίῳ τῇ τῶν λοιπῶν εὐτάκτῳ διαγωγῇ μηδαμῶς προσίεσθαι τὸν τοιοῦτον, ἀλλ' ἀποπέμπειν καὶ διώκειν μακράν, καὶ τοῦτο κεῖσθαι ἐπὶ τῇ κρίσει καὶ δοκιμασίᾳ τοῦ διδασκάλου. Τέταρτον· ἐπεὶ πᾶσα ἀρχὴ δυσπαρακολούθητος, κατὰ τὴν σοφὴν ὑποθήκην, καὶ οὐδὲν τῶν ἐν ἀνθρώποις ἐκ προοιμίων τέλειον, ἀλλὰ καὶ πᾶσαι τέχναι καὶ ἐπιστῆμαι ἀπὸ ἀτελοῦς κατὰ μικρὸν ἐπὶ τὸ τέλειον προάγονται, δ,αφόρους τε ἀλλοιώσεις καὶ ἐξαλλάξεις ἐν ταῖς καθ' ἕκαστα μεταβάσεσιν αὐτῶν ἐπιδέχονται, οὐδὲ γὰρ τὰ αὐτὰ τῆς ἀείποτε χρήσιμα, ἀλλ' ἔστιν ὅτε καὶ ἐπιβλαβῆ γίνονται, οἱ κατὰ καιροὺς χρηματίζοντες ἐπίτροποι τοῦ φροντιστηρίου τούτου, ἐμφρόνως καὶ περὶ τούτου ὀφείλοντες προνοεῖν καὶ κήδεσθαι ἐς ἀεὶ τῆς ἐπὶ τὰ πρόσω προαγωγῆς καὶ ἐπιδόσεως τῶν μαθητευομένων κατά τε τὸ ψαλμικὸν ἀναβάσεις ἀεὶ ἐν τῇ καρδίᾳ αὐτῶν διατιθεμένων καὶ κατὰ τὸ ἀποστολικὸν τῶν ὄπισθεν ἐπιλανθανομένων καὶ τοῖς ἔμπροσθεν ἐπεκτεινομένων, ἐχέτωσαν ἄδειαν κατὰ καιροὺς μετακινεῖν καὶ μεταβάλλειν ὅσα τῶν προσδιορισθέντων καὶ προεκτεθέντων ὁπώσποτε λυμαίνεται τῇ ἀρίστῃ διεξαγωγῇ, αὐξήσει τε καὶ προόδῳ τοῦ φροντιστηρίου τούτου καὶ μεταρρυθμίζειν αὐτὰ ἐπὶ τὸ εὔθετον καὶ πρόσφορον καὶ συμφέρον ταῖς τοῦ καιροῦ καὶ τῶν πραγμάτων χρείαις καὶ ἀπαιτήσεσι καὶ εἴ τι ἡμάρτηται κατ' ἀρχάς, ἢ οὐ δέοντως καὶ περιεσκεμμένως διώρισται διὰ τὸ ἀρτιπαγὲς καὶ ἀστήρικτον τῶν οὔπω εἰς ἕξιν καταστάντων, ἀλλ' ἔτι πρωτοπείρων καὶ εἰσαγωγικῶν εἰς τὴν παίδευσιν, ναὶ μὴν καὶ διὰ τὸ τὴν σχολὴν ταύτην νεωστὶ συγκροτηθεῖσαν καὶ τέως ἀρχὴν λαμβάνουσαν συνεχεστέρας εἰς τὸ ἑξῆς ἐπιδέεται ἐπιστηρίξεως· διά γε γοῦν ταῦτα πάντα οἱ ρηθέντες ἐπίτροποι ἀμέμπτως καὶ συμφερόντως δύνανται μετακινῆσαι καὶ μεταποιεῖν τά γε τοιαῦτα πρὸς ἓν καὶ μόνον ἀφορῶντες, τὴν αὔξησιν καὶ βελτίωσιν τοῦ φροντιστηρίου καὶ τῶν ἐν αὐτῷ παιδευομένων. Πέμπτον· τοῦ ρηθέντος ἐν Βατοπεδίῳ ἐπιτρόπου τῆς σχολῆς ταύτης κὺρ Μελετίου, ὡς ἀξίου καὶ προσφόρου, ὀφείλοντος ἔχειν τὴν ἐπιτροπὴν ταύτην ἐφ' ὅρου ζωῆς αὐτοῦ ἀναφαιρέτως, μετὰ θάνατον αὐτοῦ ἔχει ἐκλέγεσθαι κοινῇ γνώμῃ τῶν ὁσιωτάτων πατέρων τῆς σεβασμίας ταύτης μονῆς ὁ μάλιστα τῶν λοιπῶν προκριθεὶς καὶ ἀναφανεὶς ἄξιος καὶ πρόσφορος καὶ λυσιτελὴς τῇ ἐπιστασίᾳ ταύτῃ, ὅστις καὶ μετὰ τὴν ἐκλογήν, ἐμφανιζόμενος δι' ἀναφορᾶς αὐτῶν πρὸς τὴν ἁγίαν τοῦ Χριστοῦ Μεγάλην Ἐκκλησίαν, τηνικαῦτα ἔχει διορίζεσθαι καὶ ἀποκαθίστασθαι συνοδικῶς ἐπίτροπος τῆς σχολῆς ταύτης. Τὰς γοῦν ῥηθείσας διατάξεις καὶ τοὺς ἀνωτέρω ἐκτεθέντας διορισμοὺς ἐπὶ τῇ συστάσει καὶ συγκροτήσει καὶ διαμονῇ τοῦ ῥηθέντος φροντιστηρίου βουλόμενοι ἔχειν τὸ κῦρος καὶ τὴν ἰσχὺν βεβαίαν καὶ ἀμετάθετον εἰς αἰῶνα τὸν ἅπαντα, γράφοντες διὰ τοῦ παρόντος ἀποφαινόμεθα συνοδικῶς μετὰ τῶν περὶ ἡμᾶς ἱερωτάτων ἀρχιερέων καὶ ὑπερτίμων, τῶν ἐν ἁγίῳ πνεύματι· ἀγαπητῶν ἡμῶν ἀδελφῶν καὶ συλλειτουργῶν, ἵνα τὸ νεύσει Θεοῦ συγκροτηθὲν ἤδη φροντιστήριον τῶν ἑλληνικῶν μαθημάτων ἐν τῇ ἱερᾷ καὶ βασιλικῇ μονῇ τοῦ Βατοπεδίου ἀπὸ τοῦ νῦν καὶ εἰς τὸ ἑξῆς ἔχῃ τὴν σύστασιν καὶ διαμονὴν τοῦ διεξάγεσθαι καὶ διενεργεῖσθαι τῇ τε τέως διορισθείσῃ δόσει τῆς πατριαρχικῆς ἀποδείξεως περὶ τῶν κατ' ἔτος ἐκκλησιαστικῶν δικαιωμάτων τοῦ θεοφιλεστάτου ἐπισκόπου Ἱερισσοῦ καὶ ἁγίου Ὄρους τῶν εἰκοσιτεσσάρων χιλιάδων ἄσπρων ἀναφαιρέτως καὶ ἀμετακινήτως εἰς τὸν ἑξῆς ἅπαντα αἰῶνα διὰ μέσου τῶν ἀποκατασταθέντων ἐπιτρόπων, κατὰ τὸν ἀνωτέρω διορισθέντα τρόπον, καὶ τῇ λοιπῇ πορισθησομένῃ σὺν Θεῷ εὐοδοῦντι ἐλεημοσύνῃ καὶ εὐποιίᾳ τῶν φιλαρέτων καὶ φιλοθέων καὶ φιλελεημόνων εὐσεβῶν, προσεπευχόμενοι ἐκ μέσης ψυχῆς καὶ καρδίας, ὅπως ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστός, ἡ ἐνυπόστατος σοφία τοῦ Θεοῦ καὶ Πατρός, ὁ πάντων τῶν ἀγαθῶν χορηγός, διὰ τῆς ἀπειροδυνάμου καὶ φιλαγάθου αὐτοῦ προνοίας ἐπιστηρίζοι καὶ συνέχοι καὶ συντηροῖ τὸ τῇ θείᾳ αὐτοῦ εὐδοκίᾳ συγκροτηθὲν καὶ συντελεσθὲν διδασκαλεῖον τοῦτο, οὗτινος αὐτὸς μόνος ἀρχηγὸς καὶ τελειωτὴς ὑπάρχων, διαφυλάξοι ἀκλόνητον καὶ ἀδιάσειστον καὶ ἀπαράθραυστον ἕως τῆς συντελείας τοῦ αἰῶνος, φωτίζων, στηρίζων καὶ συνετίζων ἄνωθεν τούς τε διδάσκοντας καὶ τοὺς διδασκομένους ἐν αὐτῷ, τούς τε ἐπισκεπτομένους καὶ συγκροτοῦντας καὶ βοηθοῦντας, προνοουμένους τε καὶ ὑπερασπιζομένους αὐτοῦ καὶ φροντίζοντας τῆς συστάσεως, διαμονῆς τε καὶ αὐξήσεως αὐτοῦ. Ἐπεὶ γὰρ εἰς δόξαν αὐτοῦ ἀναφέρεται τὸ κοινωφελέστατον τοῦτο καὶ ψυχοσωτήριον ἔργον, ὁμολογουμένως καὶ τοὺς μισθοὺς καταλλήλους ἀντιδίδωσι τοῖς συμπράκτορσι καὶ συνεργοῦσι καὶ ἐκ τῶν ἐνόντων χεῖρα βοηθείας ὀρέγουσιν αὐτῷ, καὶ τοιούτους ἀξιοῦμεν εἶναι καὶ πατρικῶς παραινοῦμεν γενέσθαι πάντας τοὺς αὐτόθι συνασκουμένους πατέρας ἐν τῷ ἁγιωνύμῳ

ὄρει· φιλοσοφία γάρ ἐστιν οὐ μόνον τὸ κτῆσαι, ἀλλὰ καὶ τὸ τιμῆσαι σοφίαν καὶ τῆς συντάσεως καὶ αὐξήσεως αὐτῆς συμπροθυμεῖσθαι καὶ ὑπερεύχεσθαι, καὶ ἔξουσι πάντως καὶ οἱ τοιοῦτοι παρὰ Θεοῦ ἐπαξίους τοὺς μισθοὺς τῆς αὐτῶν προαιρέσεως, μηδενὸς πώποτε τολμῶντος ἐναντιωθῆναι καὶ ἀντειπεῖν τοῖς ἐν τῷ παρόντι συνοδικῶς ἀποφανθεῖσι καὶ ἐκκλησιαστικῶς παρ' ἡμῶν ἁπάντων τῇ τοῦ παναγίου πνεύματος ἐξουσίᾳ καὶ δυνάμει καὶ χάριτι βεβαιωθεῖσί τε καὶ κατοχυρωθεῖσι.

Ὅς δ' ἄν τις τῶν ἁπάντων μετὰ τὰς τοσαύτας καὶ τηλικαύτας πατρικὰς καὶ συνοδικὰς ἡμῶν παραινέσεις καὶ προτροπὰς καὶ εὐχὰς καὶ εὐλογίας ὀφέποτε φωραθῇ ἀπ' ἐναντίας τολμήσας καὶ κινηθείς, εἴτε τοῦ ἱεροῦ καταλόγου ὑπάρχων, εἴτε τῆς τῶν μοναχῶν καὶ ἰδιωτῶν τάξεως, εἴτε φθόνῳ καὶ κακίᾳ βαλλόμενος, εἴτ' ἄλλῳ τινὶ πάθει πληττόμενος, πανούργῳ τινὶ καὶ ὑπούλῳ τῷ τρόπῳ ἐν ἀποκρύφοις ἢ ἀναφανδὸν ἐπιχειρίσαιτο δικασεῖσαι τὸ φροντιστήριον αὐτὸ καὶ δι' ἐπιβουλῆς ἡστινοσοῦν θελήσῃ ἀνατροπήν τινα ποιῆσαι, ἢ ἀφαίρεσιν ἢ μείωσιν τῶν προσδιορισθέντων εἰς κυβέρνησιν αὐτοῦ μηχανήσασθαι, ἢ οἱῳδήτινι ἄλλῳ τρόπῳ ἀμέσως ἢ ἐμμέσως κώλυμά τι καὶ ἐμπόδιον προξενῆσαι δι' ἡντινασοῦν πρόφασιν, καὶ δοῦναι ὁπωσοῦν αἰτίαν τοῦ καταλυθῆναι αὐτὸ καὶ τὴν ἐν αὐτῷ διδασκαλίαν καὶ μάθησιν καὶ ὠφέλειαν καὶ ἐπίδοσιν κατὰ ψυχὴν τοῦ ἡμετέρου γένους, καὶ προξενηθῆναι οὐ μόνον τοῖς ἐν αὐτῷ πατράσιν, ἀλλὰ καὶ παντὶ τῷ καθ' ἡμᾶς τῶν Ὀρθοδόξων γένει ζημίαν ἐσχάτην τε καὶ μεγίστην πώρωσιν δηλονότι καὶ ἀβλεψίαν ψυχῆς καὶ ἀπώλειαν, ὁ τοιοῦτος ὡς παραβάτης καὶ παρήκοος καὶ καταφρονητὴς τῆς ἡμετέρας ταύτης πατριαρχικῆς καὶ συνοδικῆς καὶ ἐν ἁγίῳ πνεύματι ἐκκλησιαστικῆς παραινέσεως καὶ ἐντολῆς, καὶ ὡς ἐχθρὸς τοῦ καλοῦ, θερμάχος τε καὶ διώκτης τῆς ἀρετῆς καὶ τοῦ γένους ἐπίβουλος ἀφωρισμένος εἴη κλπ.

Ὅθεν εἰς ἔνδειξιν καὶ διηνεκῆ παράστασιν τῆς γενομένης ἤδη παρ' ἡμῶν ἐπισυστάσεως τοῦ θεοσώστου τούτου φροντιστηρίου μετὰ τῶν περιεχομένων ἐν τῷ παρόντι προσδιορισμῶν καὶ τρόπων τῆς κυβερνήσεως αὐτοῦ ἐγένετο καὶ τὸ παρὸν ἡμέτερον πατριαρχικὸν συνοδικὸν σιγιλλιῶδες ἐν μεμβράναις γράμμα, καταστρωθὲν καὶ τῷ ἱερῷ κώδικι τῆς καθ' ἡμᾶς τοῦ Χριστοῦ μεγάλης Ἐκκλησίας.

Ἐν ἔτει σωτηρίῳ ᾳψι', κατὰ μῆνα Μάϊον, ἐπινεμήσεως ΙΓ'.

† Κύριλλος ἐλέῳ Θεοῦ ἀρχιεπίσκοπος Κων)πόλεως νέας Ρώμης καὶ Οἰκουμενικὸς Πατριάρχης.

† *Ὁ Καισαρείας Παρθένιος.* — † *ὁ Ἡρακλείας Γεράσιμος.* — † *ὁ Κυζίκου Ἀναστάσιος.* — † *ὁ Νικομηδείας Γαβριήλ.* — † *ὁ Νικαίας Καλλίνικος.* — † *ὁ Δέρκων Σαμουήλ.* — † *ὁ Τουρνόβου Ἄνθιμος.* — † *ὁ Κρήτης Γεράσιμος.* — † *ὁ Κορίνθου Παρθένιος.* — † *ὁ Λαρίσσης Ἰάκωβος.* — † *ὁ Φιλιππουπόλεως Σεραφείμ.* — † *ὁ Φιλίππων καὶ Δράμας Καλλίνικος.* — † *ὁ Μελενίκου Ἰωαννίκιος.* — † *ὁ Μηθύμνης Ἀρσένιος.* — † *ὁ Ἀγχιάλου Ναθαναήλ.* — † *ὁ Σωζουπόλεως Φιλάρετος.* — † *ὁ Γάνου Νεόφυτος.* — † *ὁ Προικοννήσου Νικηφόρος.*

ΣΗΜ. Ἐκ τοῦ Ε'. πατριαρχικοῦ κώδικος σελ. 101. Ἐν τοῖς συγχρόνοις Καταστίχοις τῆς ληψοδοσίας τοῦ Ἐθνικοῦ Ταμείου τακτικῶς ἀναγράφεται τὸ ἀνωτέρω τῇ Ἀθωνιάδι Σχολῇ ὁρισθὲν χρηματικὸν ἐπίδομα.

ΕΚΚΛΗΣΙΑΣΤΙΚΑ ΧΡΟΝΙΚΑ

— *Νέα Ἰνδικτιών.* — Μετὰ τῆς εἰθισμένης ἐκκλησιαστικῆς τάξεως καὶ εὐκοσμίας καὶ ἐν μέσῳ πολυπληθοῦς ὁμηγύρεως κλήρου καὶ συρροῆς ἐκκλησιάσματος ἑωρτάσθη σήμερον ἐν τοῖς Πατριαρχείοις ἡ εἴσοδος τοῦ νέου ἐκκλησιαστικοῦ ἔτους, ΙΔ' Ἰνδικτιῶνος, τῆς ἐπὶ τούτῳ καθιερωμένης τελετῆς γενομένης μετὰ πολλῆς μεγαλοπρεπείας. Συνῳδὰ τῇ τυπικῇ διατάξει ἡ Α. Θ. Π. ὁ Οἰκουμενικὸς Ἱατριάρχης κατά τε τὸν ἑσπερινὸν καὶ τὴν θείαν λειτουργίαν ἐχοροστάτησεν ἐν τῷ παραθρονίῳ φέρων ἐπανωκαλύμαυχον καὶ χαζράνιον, τῶν ἁγίων ἀρχιερέων ἱσταμένων ἐντὸς τοῦ ἱεροῦ Βήματος.

Τῆς θείας καὶ ἱερᾶς λειτουργίας τελεσθείσης ὑπὸ τοῦ πανοσιωτάτου Μ. ἀρχιμανδρίτου Ἱεροθέου, ἡ Α. Θ. Παναγιότης καὶ πᾶσα ἡ συνοδία, ἤτοι οἱ σεβασμ. ἅγιοι συνοδικοὶ Δέρκων Καλλίνικος, Ἀδριανουπόλεως Κύριλλος, Ἀμασείας Ἄνθιμος, Βερροίας Κωνστάντιος, Μαρωνείας Ἰωακείμ, Σηλυβρίας Κωνστάντιος, Χίου Κωνσταντῖνος, Κορυτσᾶς Γερβάσιος, Γρεβενῶν Δωρόθεος, Λέρου καὶ Καλύμνου Ἰωάννης καὶ Ἐλευθερουπόλεως Διονύσιος, οἱ παρεπιδημοῦντες μητροπολῖται Μελενίκου Λεόντιος, Χαλδείας Γερβάσιος, οἱ πρώην Μεσημβρίας Γεννάδιος, πρώην Δεβρῶν Ἄνθιμος, πρώην Ἐρσεκίου Σεραφείμ, ὁ ἀρχιερατικῶς προϊστάμενος Μ. Ρεύματος θεοφιλέστατος ἐπίσκοπος Κλαυδιουπόλεως Μιχαήλ, ὁ Μ. Πρωτοσύγκελλος, οἱ πανοσιολογιώτατοι ἀρχιμανδρῖται Μ. Κλεόβουλος, Γρηγόριος Κωνσταντινίδης, Ἰωακείμ Φορόπουλος, Καλλίνικος Δελικάνης, Κωνσταντῖνος Βοντζαλίδης, ὁ ἐπίτροπος τοῦ ἁγίου Ὄρους Γεράσιμος Λαυριώτης, τὰ μέλη τοῦ Δ. Ε. Μ. Συμβουλίου Ι. Βυθινὸς ἐφέντης, Α. Μελαχροινὸς ἐφέντης, Ἰωάνν. Μαμμόπουλος, Μ. Μαράσογλους, Κ. Κωνσταντινίδης, Α. Σοῦρλας καὶ πάντες οἱ λοιποὶ κληρικοὶ καὶ λαϊκοὶ ὑπάλληλοι τῶν Πατριαρχείων, ἀνῆλθον εἰς τὴν αἴθουσαν τοῦ Μ. Συνοδικοῦ, ἔνθα μετὰ τὴν εἰθισμένην τελετήν, ἡ Α. Θ. Παναγιότης ἀνέγνω τὴν Πρᾶξιν τῆς Ἰνδίκτου. Μετέ-

πειτα ψαλέντος τοῦ πολυχρονισμοῦ ὑπό τῶν χορῶν ἡ Α. Θ. Παναγιότης φέρων ὠμοφόριον καὶ ἐπιτραχήλιον ὑπέγραψε τὴν Πρᾶξιν καὶ εἶτα κατὰ τὴν ἱεραρχικὴν τάξιν εἷς ἕκαστος τῶν ἁγίων ἀρχιερέων φέρων ὡσαύτως ὠμοφόριον καὶ ἐπιτραχήλιον, τῶν χορῶν τοῦ Πατριαρχικοῦ Ναοῦ ψαλλόντων τὰ ἰδιόμελα τῆς ἡμέρας.

Τῆς ὑπογραφῆς τῆς Πράξεως περατωθείσης ὁ πρῶτος τῇ τάξει μητροπολίτης Δέρκων προσεφώνησεν ἐκ μέρους τῆς ἁγίας καὶ ἱερᾶς Συνόδου καὶ τοῦ Μ. Συμβουλίου τῇ Α. Θ. Π. εὐξάμενος Αὐτῇ καταλλήλως, εἰς ὃν ἀπαντῶσα ἡ Α. Θ. Παναγιότης ηὐχαρίστησε τοῖς μέλεσι τῆς ἱερᾶς Συνόδου καὶ τοῦ Συμβουλίου καὶ ηὔξατο πᾶσι τὸ νέον ἐκκλησιαστικὸν ἔτος αἴσιον καὶ πάροχον παντὸς ἀγαθοῦ τῇ πανσθενεῖ χάριτι τοῦ παναγίου Πνεύματος.

